**ΤΗ͂ Κ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ 2021.**

**ΤΕΤΑΡΤΗ. Εβδομάδα ΙΗ’ ( Ε’ ΛΟΥΚΑ ). Ἦχος πλ. δ’.**

**Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρας Ἀρτεμίου, τοῦ Ὁσίου καὶ θεοφόρου Πατρός, ἡμῶν Γερασίμου, καὶ τῆς Ὁσίας ἡμῶν Ματρώνης, τῆς Χιοπολίτιδος.**







## ΕΣΠΕΡΙΝΟΣ.

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.**
**Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.**
**Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.**

**Ψαλμὸς 103.**

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα, ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν·
ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων·
ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα·
ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτά·
ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.
ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα·
ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν·
ἐπ᾿ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.
ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς·
καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.
ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται

αὐτῶν.
ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.
ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.
σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.
ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων·
ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.
πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον.
δόντος σου αὐτοῖς συλλέξουσιν, ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος.
ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ·
ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
ᾄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω·
ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

**Καὶ πάλιν**

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κ ύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

**Δόξα ... Καὶ νῦν ...**

**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ').**

**Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.**

**Ὁ διάκονος:**

**Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (......), τοῦ

τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου,
ὑπερευλογημένης, ἐνδόξου,
Δεσποίνης ἡμῶν Θεοτόκου καὶ
ἀειπαρθένου Μαρίας, μετὰ πάντων
τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς
καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν
ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοὶ, Κύριε.**

**Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις,
τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ
Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Ψαλμὸς ρμ’ (140).**

- **Κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι μὲ πρὸς σὲ εἰσάκουσόν μου, Κύριε.**

**ὁ β’ χορός.**

- **Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινὴ εἰσάκουσόν μου, Κύριε.**

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.
Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἡδύνθησαν ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.
Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ μου ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.
Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.
Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, κατὰ μόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω.

**Ψαλμὸς 141.**

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.
Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.
Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.
Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.
Κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.
Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.
Ἐκέκραξα πρὸς σέ, Κύριε εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.
Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.
Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

**Στίχ. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.**

**Στίχ. Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὐ ἀνταποδῷς μοι.**

**Στίχ. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε εἰσάκουσον τῆς φωνῆς μου.**

**Στίχ. Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.**

**Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.**

**Στιχηρὰ τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἦχος δ' Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Οὐρανίαις ἐλλάμψεσι, φωτισθεὶς τὴν διάνοιαν, τὸ τῆς πλάνης ἔφυγες σκότος Ἔνδοξε, καὶ τῷ φωτὶ προσεπέλασας, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ταῖς χάρισιν αὐτοῦ, καταυγάζεις τὰ πέρατα· διὸ πρέσβευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

**Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.**

**Ἦχος δ' Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Ἐπιπνοίᾳ τοῦ Πνεύματος, μυηθεὶς γνῶσιν ἔνθεον, τὸν τῶν ὅλων Κτίστην ἔγνως Ἀρτέμιε, καὶ τοὺς τῇ κτίσει λατρεύοντας, πανσόφως διήλεγξας, καὶ ὡδήγησας λαούς, εἰς Θεοῦ τὴν ἐπίγνωσιν, δι' ὃν ἤθλησας, καὶ τὸ στέφος ἐδέξω τῶν καμάτων, λυτρωθῆναι ἱκετεύων, διαφθορᾶς τοὺς ὑμνοῦντας σε.

**Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.**

**Τοῦ Ὁσίου Γερασίμου. Ἦχος α΄. Τῶν Οὐρανίων ταγμάτων.**

Τῶν μοναστῶν ποδηγέτης, καὶ Ἀσκητῶν ἡ κρηπίς, τὸ τῆς Πελοποννήσου, ἐγκαλλώπισμα θεῖον, Γεράσιμος ὁ μέγας, ὁ νῦν παρ' ἡμῶν εὐφημούμενος ἄριστα· πρόκειται γὰρ πανδαισία πνευματική, τοῖς πιστοῖς πᾶσιν ἀκόρεστος.

**Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.**

**Ἦχος α΄. Τῶν Οὐρανίων ταγμάτων.**

Δεῦτε χορὸς τῶν ἀζύγων καὶ μοναστῶν ἡ πληθύς, ἐν τῇ Μονῇ τῇ θείᾳ, Ὁμαλῶν ἔνθα κεῖται, τὸ σκῆνος τοῦ Ὁσίου τὸ θαυμαστόν, Γερασίμου καὶ πάνσεπτον, καὶ δαψιλῶς ἐμφορεῖσθε τῶν ἐξ αὐτοῦ, τεραστίων τὰ παράδοξα.

**Στίχ. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.**

**Ἁγίας Ματρώνης Ἦχος δ' Ὁ ἐξ ὑψίστου κληθείς.**

Τοὺς σοὺς ἀγῶνας Ματρῶνα πανολβία, καὶ τὰ κατορθώματα τίς ἐξειπεῖν πρεπωδῶς καὶ ἀνυμνῆσαι δυνήσεται ; βροτείαν φύσιν, καὶ γὰρ παρήνεγκε παναοίδιμε˙ Ἀγγέλων ἠγάσθητε, ταῦτα πληθὺς καὶ Θεόν, τὸ ἀσθενὲς τὸ τῆς φύσεως ἐνδυναμοῦντα, μεγάλως ᾔνεσε καὶ ἐδόξασεν˙ ἀλλ΄ οἱ τρυφῶντες τῶν καλῶν τῶν σῶν, ἐκ πόθου πάντες σὲ μελπωμεν, τὸ πρὸς δύναμιν χρέος ὡς εἰκὸς ἀφοσιούμενοι.

**Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.**

**Ἦχος δ' Ὁ ἐξ ὑψίστου κληθείς.**

Τῆς ἐγκρατείας πυρὶ πῦρ θεοφόρε, παθῶν ἐναπέσβεσας καὶ πῦρ ἀνήφθη σοι, τοῦ θείου πάνσεμνε ἔρωτος, ὃς πᾶσαν ὕλην, φιλοκοσμίας ἐναπετέφρωσε, καὶ ὅλην σε ἔπεισε μετατεθῆναι ἐκ γῆς πρὸς οὐρανῶν τῷ φρονήματι, καὶ ἰσαγγέλως, ἐν γῇ βιῶσαι μικροῦ πανθαύμαστε· καὶ νῦν Ἀγγέλοις συγχορεύουσα, ὧν καὶ τὸν βίον ἐζήλωσας, σὺν αὐτοῖς ἐκδυσώπει, τοῦ σωθῆναι τάς ψυχὰς ἡμῶν.

**Δόξα ... Ἦχος β' Τοῦ Στουδίτου.**

Τὸν νοερὸν φωστῆρα τῆς πίστεως, Ἀρτέμιον τιμήσωμεν, ὅτι ἤλεγξε Βασιλέα τὸν ἔχθιστον, καὶ τῷ αἵματι τοῦ μαρτυρίου αὐτοῦ, τὴν Ἐκκλησίαν Θεὸς ἐπορφύρωσεν˙ ὅθεν καὶ ἀπέλαβε, τῶν ἰαμάτων τὴν χάριν τὴν ἄφθονον, τοῦ ἰᾶσθαι τὰς νόσους, τῶν πιστῶς προστρεχόντων, ἐν τῇ σορῷ τῶν λειψάνων αὐτοῦ.

**Καὶ νῦν ... Σταυροθεοτοκίον Ἦχος β' Ὅτε, ἐκ τοῦ ξύλου σε.**

**Ὅτε, ἡ πανάμωμος ἀμνάς,** ἄρνα τὸν αὐτῆς ἐθεώρει, ἑλκόμενον πρὸς σφαγήν, θρήνοις ἐνεκόπτετο, βοῶσα ὀλολυγμοῖς˙ Τὶ σοι δῆμος ἀχάριστος, γλυκύτατον Τέκνον, ἤδη ἀνταπέδωκεν, ὁ ἀπολαύσας ποτέ, οἴμοι! σῶν πολλῶν δωρημάτων; πῶς δὲ καὶ τὸν πόνον ἐνέγκω, **ὅτι θέλων ταῦτα νῦν ὑφίστασαι;**

## Εἴσοδος.

## Σοφία Ὀρθοί !

**Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου** Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς, **Διὸ ὁ κόσμος σὲ δοξάζει.**

## Ἑσπέρας προκείμενον.

### Τῇ Τρίτῃ ἑσπέρας Ἦχος α'

**Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με πάσας τὰς ἡμέρας της ζωῆς μου.**

Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με πάσας τὰς ἡμέρας της ζωῆς μου.

**Στίχ. Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.**

Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με πάσας τὰς **ἡμέρας της ζωῆς μου.**

## Τὰ Ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα .(Κεφ. δ΄7).

**Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ** τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ

διανοίᾳ τὸ τοιοῦτον, **ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.**

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ΄1).

**Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.** Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν καλασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, **ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.**

## Παροιμιοιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. κδ΄25).

**Ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖνε πάντας ὑγιῶς. ἄνοιγε** σὸν στόμα καὶ κρῖνε δικαίως, διάκρινε δὲ πένητα καὶ ἀσθενῆ. Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θάρσει ἐπ᾽ αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν πλοῦτον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν

νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ˙ πάντες γὰρ οἱ παρ᾽ αὐτῆς ἐνδεδυμένοι εἰσί. Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Τὸ στόμα δὲ ἀνοίγει σοφῶς καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησαν, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῇρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός˙ γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. **Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.**

**Ὁ διάκονος:**

- **Εἴπωμεν πάντες ἐξ ὅλης της** ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.
- **Κύριε ἐλέησον (ἅπαξ).**
- Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.
- **Κύριε ἐλέησον (ἅπαξ).**
- Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.
- **·Κύριε ἐλέησον (ἐκ τρίτου).**
- Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

- **Κύριε ἐλέησον (ἐκ τρίτου).**
- Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν , καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
- **Κύριε ἐλέησον (ἐκ τρίτου).**
- Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.
- **Κύριε ἐλέησον (ἐκ τρίτου)**
- Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.
- **Κύριε ἐλέησον (ἐκ τρίτου)**
- Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.
- **Κύριε ἐλέησον (ἅπαξ)**

**Ὅ**τι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας **τῶν αἰώνων.**

**Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:**

**Ἀμήν.**

**Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ,** ἀναμαρτήτους **φυλαχθῆναι ἡμᾶς.**

**Εὐλογητὸς εἶ, Κύριε**, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

**Γένοιτο, Κύριε, τὸ ἔλεός σου** ἐφ’ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
**Εὐλογητὸς εἶ, Κύριε**, δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.
**Εὐλογητὸς εἶ, Ἅγιε**, φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
**Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος,** σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι**, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**
**Ἀμήν.**

**Ὁ διάκονος:**

- **Πληρώσωμεν τὴν ἑσπερινὴν** δέησιν ἡμῶν τῷ Κυρίῳ.
- **Κύριε ἐλέησον.**
- Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.
- **Κύριε ἐλέησον.**
- Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

- **Παράσχου Κύριε.**
- Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
- **Παράσχου Κύριε.**
- Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
- **Σοὶ Κύριε.**

**Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.**

**Ὁ Χορός: Ἀμήν.**

Εἰρήνη πᾶσι.

**Καὶ τῷ πνεύματί σου.**

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

**Σοί, Κύριε.**

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

**Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

## Εἰς τὴν Λιτὴν Ἁγίου Ἀρτεμίου Ἦχος α'.

**Χαῖρε καὶ εὐφραίνου μεγαλομάρτυς Ἀρτέμιε**, στρατιῶτα τοῦ μεγάλου Βασιλέως ἄριστε · Θεῷ γὰρ εὐηρέστησας, καὶ πάντων ὑπεριδών, ἐν οὐρανοῖς τὴν ζωὴν τὴν αἰώνιον ἀπείληφας. Ὅθεν ἡ σορὸς τῶν λειψάνων σου, παντοίων νόσων ἀποσοβεῖ ἐξ ἀνθρώπων, τῶν μετὰ πίστεως προσκυνούντων τὴν ἱεράν σου εἰκόνα. Χριστὸν γάρ, ὃν ἐπόθησας, **αὐτὸς ἐν πᾶσι τοῖς πέρασιν ἐδόξασέ σε τρισόλβιε.**

## Εἰς τὴν Λιτὴν Τοῦ Ὁσίου Γερασίμου. Ἦχος α'.

**Τὸν θεοειδῆ ἀσκητήν, καὶ νεοφανῆ** ἐκ τῆς Ἑώας ἀστέρα, θεῖον Γεράσιμον εὐφημήσωμεν. Οὗτος γὰρ ἔτι ζῶν, μεγάλως ἠγωνίσατο, ταῖς ἐπαγρύπνοις αὐτοῦ στάσεσιν, ἀμέσως παριστάμενος τῷ Κυρίῳ, διὸ καὶ μετὰ θάνατον ἡ θεῖα σορὸς αὐτοῦ τοῖς προσιοῦσι πηγάζει ἀεννάως τὰ θαύματα˙ ὑπὲρ ὧν καὶ πρεσβεύει ἀδιαλείπτως **Χριστῷ τῷ Θεῷ δωρηθῆναι αὐτοῖς τὸ μέγα ἔλεος.**

## Εἰς τὴν Λιτὴν Τῆς Ὁσίας Ματρώνης Ἦχος. δ'.

**Ἀραμένη τὸν Σταυρὸν ἐπὶ τῶν ὤμων,** προθύμως τῷ καλοῦντι Χριστῷ ἠκολούθησας, καὶ διὰ βίου, πόνοις τῆς ἀσκήσεως συσταυρωθεῖσα αὐτῷ, ἀξιοπρεπῶς συνδοξάζῃ σεμνή· καὶ τῶν ἀπ' αἰῶνος Ἁγίων τοῖς τιμίοις συνηδομένη ἀοίδιμε πνεύμασιν, **ἱκέτευε σωθῆναι τάς ψυχὰς ἡμῶν,**

**Αμήν.**

**Είς τὸν Στίχον Ἀπόστιχα Στιχηρὰ τῶν Ὁσίων.**
**Τοῦ Ἀγ. Ἀρτεμίου. Ἦχος δ' Ἔδωκας σημείωσιν.**

**Νεύροις συγκοπτόμενος**, καὶ ὀφθαλμοὺς ὀρυττόμενος, καὶ ἰκρίῳ κρεμάμενος, ξηστῆρσι ξεόμενος ἀπηνῶς τὰς σάρκας, θύειν τε εἰδώλοις, ἐγκελευσάμενος σοφέ, οὐκ ἐξηρνήσω Χριστοῦ τὸ ὄνομα, ἀλλ΄ἤλεγσας στερρότατα, τοῦ δυσσεβοῦς τὴν παράνοιαν, καὶ δεινὴν ματαιότητα ἀθλοφόρε Ἀρτέμιε.

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

**Τοῦ Ἀγ. Γερασίμου Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.**

Χαίροις Κεφαλληνίας στερρόν, Θεοῦ προνοίᾳ, καὶ ἑδραῖον κραταίωμα, ὁ μύστης ὁμοῦ καὶ φύλαξ, καὶ ἀντιλήπτωρ θερμός, παρέχων πᾶσι, τὴν βοήθειαν˙ ἀεὶ γὰρ πλουτοῦμέν σε ἐν κινδύνοις ὑπέρμαχον, ἐπίκουρόν σε συμπαθῆ ἐν ταῖς θλίψεσι, περιστάσεων τοῦ λοιμοῦ ἡμᾶς σῴζοντα, Φρούρει οὖν δυσωποῦμέν σε, Γεράσιμε Ὅσιε, τὴν νῆσον ταύτην καὶ πάντας, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου, ἐκ πάσης ἀνάγκης, καὶ Χριστὸν ἀεὶ δυσώπει, ὑπὲρ τῆς ποίμνης σου.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.**

**Τῆς Ὁσίας Ματρώνης, Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Κράτος κατ᾽ ἐχθρῶν τῶν ἀφανῶν, ᾖρω πανολβία καὶ νίκην, λαμπρὰν νικήσασα, τὰς ἐκείνων φάλαγγας, καὶ ἐπηρμένην ὀφρύν, τοῦ πτερνίσαντος ἔνδοξε, εἰς γῆν καθελοῦσα˙ ὅθεν νῦν ἀπάρασα, πρὸς οὐρανίους σκηνάς, νίκης τὰ βραβεῖα κομίζῃ, τῆς ἀνεκλαλήτου καὶ θείας, δόξης καὶ τρυφῆς ἐπαπολαύουσα.

**Δόξα .. τοῦ Ἁγίου Γερασίμου Ἦχος πλ δ΄.**

Τῶν Μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Πατὴρ ἡμῶν Γεράσιμε˙ διὰ γάρ σου τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συνόμιλε, Ὁσίων ὁμόσκηνε καὶ Δικαίων˙ μεθ΄ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καί νῦν... Σταυροθεοτοκίον Ἦχος πλ. β' Τριήμερος ἀνέστης.**

**Ἡ Πάναγνος ὡς εἶδέ σε**, ἐπὶ Σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνεβόα μητρικῶς· Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, **πῶς φέρεις πάθος ἐπονείδιστον.**

**Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.**

**Τρισάγιον.**

**Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.**
**(ἐκ γ').**
**Δόξα ... Καὶ νῦν ...**
Παναγία Τριάς, ἐλέησον ἡμᾶς.
Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,
Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.
Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,
ἕνεκεν τοῦ ὀνόματός σου.
**Κύριε, ἐλέησον, (ἐκ γ').**
**Δόξα ... Καὶ νῦν ...**

**Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς**, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, **ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.**

**Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα του Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.**

**Ἀμήν.**

**Ἀπολυτίκια Ἦχος δ' Ταχὺ προκατάλαβε.**

**Ὁ Μάρτυς σου, Κύριε,** ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν˙ ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση˙ Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, **σῶσον τὰς ψυχὰς ἡμῶν.**

**Ἕτερον Ἁγίου Ἀρτεμίου Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.**

**Ποικίλαις βασάνοις ἐναθλήσας μακάριε**, ὡς στερρὸς ἀδάμας τὸν παραβάτην κατῄσχυνας˙ καὶ γὰρ ἐν πέτρᾳ μεγίστῃ πιεσθεὶς διὰ τὴν πέτραν, Χριστόν, καὶ αἰκισθεὶς στέφος ἐδέξω τοῦ μαρτυρίου μεγαλομάρτυς Ἀρτέμιε˙ δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ σὲ στεφανώσαντι, **δὸξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**

**Ὁσίου Γερασίμου ὁ αὐτός.**

**Τὸν Ὀρθόδοξον προστάτην**, καὶ ἐν σαρκὶ Ἄγγελον, καὶ θαυματουργὸν θεοφόρον νεοφανέντα ἡμῖν ἐπαινέσωμεν πιστοὶ θεῖον Γεράσιμον˙ ὅτι ἀξίως παρὰ Θεοῦ ἀπείληφεν ἰαμάτων τὴν ἀέναον χάριν˙ ῥώννυσι τοὺς νοσοῦντας, δαιμονῶντας ἰᾶται· διὸ **καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.**

**Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου Γερασίμου εἰς Ἦχον α' .**

**Τῆς σαρκὸς χαλινώσας τὰ σκιρτήματα ἅπαντ**α, καὶ τὰ πάθη νεκρώσας, ἐγκρατείας τοῖς βέλεσιν, ἀνήχθης πρὸς ἀπάθειαν σοφέ, ὡς ἄσαρκος βιώσας ἐκ πηγῆς· διὰ τοῦτο καὶ θαυμάτων πηγὰς προχέεις ἡμῖν τοῖς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ˙ δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ δωρησαμένῳ **σε ἡμῖν, φρουρὸν Γεράσιμε.**

**Δόξα ... τῆς Ἁγίας Ματρώνης. Ἦχος ὁ αὐτός.**

**Μονάσασα θεαρέστως ἐναρέτως ἐβίωσας**, καὶ χάριν ἰαμάτων ἐκομίσω Ματρῶνα θεόληπτε˙ θαυμάσια δὲ τελέσασα φοβερά, Μονὴν συνεκρότησας ἱερὰν˙ προσενήνοχας πληθὺν τῶν πιστευσάντων σοι παμμακάριστε˙ δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, **δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**

**Καί νῦν ... Θεοτοκίον.**

**Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρ**ε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· **δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.**

**Ὁ διάκονος:**

- **Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς** καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.
- **Κύριε ἐλέησον (ἅπαξ).**
- Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.
- **Κύριε ἐλέησον (ἅπαξ).**
- Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.
- ·**Κύριε ἐλέησον (ἐκ τρίτου).**
- Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).
- **Κύριε ἐλέησον (ἐκ τρίτου).**
- Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν , καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
- **Κύριε ἐλέησον (ἐκ τρίτου).**
- Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.
- **Κύριε ἐλέησον (ἐκ τρίτου)**
- Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν

προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

- **Κύριε ἐλέησον (ἐκ τρίτου)**
- Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.
- **Κύριε ἐλέησον (ἅπαξ)**

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας **τῶν αἰώνων.**

**Ἀμήν.**

**Ἀπόλυσις**

**ΙΕΡΕΥΣ: Σοφία!**

**Ὁ Ἀναγνώστης: Εὐλόγησον.**

**ΙΕΡΕΥΣ: Ὁ ὤν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Ὁ Ἀναγνώστης: Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ, Μητροπόλει, Ἐνορία και Πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.**

**ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.**

**Ὁ Ἀναγνώστης: Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

**ΙΕΡΕΥΣ: Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.**

**Ὁ Ἀναγνώστης: Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίω Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον. Πάτερ Ἅγιε εὐλόγησον.**

**ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν**, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς **καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.**

**Ἀμήν.**

**Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.**

**Ἀμήν.**

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ 2021.
## ΤΕΤΑΡΤΗ. Εβδομάδα ΙΗ' ( Ε' ΛΟΥΚΑ ). Ἦχος πλ. δ'.
## Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρας Ἀρτεμίου, τοῦ Ὁσίου καὶ θεοφόρου Πατρός, ἡμῶν Γερασίμου, καὶ τῆς Ὁσίας ἡμῶν Ματρώνης, τῆς Χιοπολίτιδος.

# ΟΡΘΡΟΣ

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Δόξα σοι ὁ Θεός, δόξα σοι.**

**Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς Ἀληθείας, ὁ Πανταχοῦ Παρὼν καὶ τὰ Πάντα Πληρῶν, ὁ Θησαυρός τῶν Ἀγαθῶν καὶ Ζωῆς Χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.**

**Ἀμήν.**

**Τρισάγιον.**

**Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ').**

**Δόξα ... Καὶ νῦν ...**

**Παναγία Τριάς, ἐλέησον ἡμᾶς.**

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,
Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.
Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,
**ἕνεκεν τοῦ ὀνόματός σου.**

**Κύριε, ἐλέησον, (ἐκ γ').**

**Δόξα ... Καὶ νῦν ...**

**Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,** ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς

ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, **ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.**

**Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα του Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.**

**Αμήν.**

**Τροπάρια.**

**Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ** εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

**Δόξα ...**

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

**Καὶ νῦν ... Θεοτοκίον.**

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς, ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε, στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην· διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

**Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.**

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν,, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.**

**Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία (ἐκ γ').**

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου **(ἐκ β').**

**Ψαλμὸς 3.**

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ˙

πολλοὶ λέγουσι τῇ ψυχῇ μου˙ οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. (διάψαλμα).

σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. (διάψαλμα).

ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα˙ ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

**Καὶ πάλιν.**

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην ὅτι Κύριος ἀντιλήψεταί μου

## Ψαλμὸς 37.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου·
οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.
ὅτι αἱ ἀνομίαι μου ὑπερῇραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ.
προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου·
ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.
ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου·
ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.
ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ.
οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν·
καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ·
καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰκακούσῃ, Κύριε ὁ Θεός μου.
ὅτι εἶπα· μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ᾽ ἐμὲ ἐμεγαλοῤῥημόνησαν.
ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.
ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως·
οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ· πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

**Καὶ πάλιν.**

μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ πρόσχες εἰς τὴν βοήθειάν μου Κύριε τῆς σωτηρίας μου

**Ψαλμὸς 62.**

Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω· ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.
οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ·
ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς·
παραδοθήσονται εἰς χεῖρας ρομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

**Καὶ πάλιν.**

ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ
ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι
ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

**Δόξα ... Καὶ νῦν ...**
**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Δόξα σοι ὁ Θεὸς (ἐκ γ').**
**Κύριε, ἐλέησον. (ἐκ γ').**
**Δόξα ... Καὶ νῦν ...**

## Ψαλμὸς 87.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου·
εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὗς σου εἰς τὴν δέησίν μου.
ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε·
προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος,
ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
ἐπ᾿ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾿ ἐμέ. (διάψαλμα).
ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾿ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς, παρεδόθην καὶ οὐκ ἐξεπορευόμην.

οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας· ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου·
μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.
ἱνατί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;
πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με,
ἐκύκλωσάν με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν, περιέσχον με ἅμα.
ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

**Καὶ πάλιν.**

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου
εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου

**Ψαλμὸς 102.**

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ·
εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ·
τὸν εὐιλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου·
τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς·
τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται

ὡς ἀετοῦ ἡ νεότης σου.
ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ, τοῖς υἱοῖς ᾿Ισραὴλ τὰ θελήματα αὐτοῦ.
οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος˙
οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ˙
οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν,
ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν˙
καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾿ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν,
ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ˙ ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει˙
ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν, καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ˙
εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ˙ εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.
**Καὶ πάλιν.**

ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν Κύριον

## Ψαλμὸς 142.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·
καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·
καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. (διάψαλμα).
ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου·
ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς σὲ κατέφυγον.
δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.
ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου·
καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

**Καὶ πάλιν.**

εἰσάκουσόν μου Κύριε ἐν τῇ δικαιοσύνῃ σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου **(ἐκ β').**
τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

**Δόξα... Καὶ νῦν...**

**Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ').**
**Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.**

**Ὁ διάκονος:**
**Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**
**Κύριε, ἐλέησον.**
**[καὶ μετὰ ἀπὸ κάθε αἴτηση]**
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**
Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**
Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**
Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**
Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν

Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων

τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς
καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν
ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
**Σοί, Κύριε.**

**Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις,
τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ
Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων.**
**Ἀμήν.**

**Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.**
**Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.**
**Στίχ, β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.**
**Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.**

**Ἀπολυτίκια Ἦχος δ' Ταχὺ προκατάλαβε.**
**Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ**, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν˙ ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση˙ Αὐτοῦ ταῖς ἱκεσίαις, **Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.**
**Ἕτερον Ἁγίου Ἀρτεμίου Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.**
**Ποικίλαις βασάνοις ἐναθλήσας μακάριε,** ὡς στερρὸς ἀδάμας τὸν παραβάτην κατῄσχυνας˙ καὶ γὰρ ἐν πέτρᾳ μεγίστῃ πιεσθεὶς διὰ τὴν πέτραν, Χριστόν, καὶ αἰκισθεὶς στέφος ἐδέξω τοῦ μαρτυρίου μεγαλομάρτυς Ἀρτέμιε˙ δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ σὲ στεφανώσαντι, **δὸξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**
**Ὁσίου Γερασίμου ὁ αὐτός.**

**Τὸν Ὀρθόδοξον προστάτην,** καὶ ἐν σαρκὶ Ἄγγελον, καὶ θαυματουργὸν θεοφόρον νεοφανέντα ἡμῖν ἐπαινέσωμεν πιστοὶ θεῖον Γεράσιμον˙ ὅτι ἀξίως παρὰ Θεοῦ ἀπείληφεν ἰαμάτων τὴν ἀέναον χάριν˙ ῥώννυσι τοὺς νοσοῦντας, δαιμονῶντας ἰᾶται· διὸ **καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.**

**Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου Γερασίμου εἰς Ἦχον α' .**

**Τῆς σαρκὸς χαλινώσας τὰ σκιρτήματα ἅπαντα**, καὶ τὰ πάθη νεκρώσας, ἐγκρατείας τοῖς βέλεσιν, ἀνήχθης πρὸς ἀπάθειαν σοφέ, ὡς ἄσαρκος βιώσας ἐκ πηγῆς· διὰ τοῦτο καὶ θαυμάτων πηγὰς προχέεις ἡμῖν τοῖς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ˙ δόξα τῷ σὲ θαυμαστώσαντι· **δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, φρουρὸν Γεράσιμε.**

**Δόξα ... τῆς Ἁγίας Ματρώνης. Ἦχος ὁ αὐτός.**

**Μονάσασα θεαρέστως ἐναρέτως ἐβίωσας**, καὶ χάριν ἰάμάτων ἐκομίσω Ματρῶνα θεόληπτε˙ θαυμάσια δὲ τελέσασα φοβερά, Μονὴν συνεκρότησας ἱερὰν˙ προσενήνοχας πληθὺν τῶν πιστευσάντων σοι παμμακάριστε˙ δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, **δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**

**Καί νῦν ... Θεοτοκίον.**

**Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε**, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί˙ δόξα τῷ προελθόντι ἐκ σοῦ˙ **δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.**

**Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν

Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Ὅτι σὸν τὸ κράτος καί σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

## ΚΑΘΙΣΜΑΤΑ.

**Μετὰ τὴν α'. στιχολογίαν.Εἰς τὸν ὄρθρον  Κάθισμα Ἁγ. Ἀρτεμίου Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.**

**Βασάνων ἀλγεινῶν, ἀνδρικῶς ὑπομείνας**, τὴν ἄπονον ζωήν, ἐκομίσω παμμάκαρ, Ἀρτέμιε ἔνδοξε, ἀθλητῶν ἐγκαλλώπισμα· ὅθεν σήμερον, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἑορτάζουσα τὴν σὴν πανίερον μνήμην, ἐνθέως ἀγάλλεται.

**Ἦχος ὁ αὐτὸς τοῦ Ἁγίου Γερασίμου.**

Τὸν νέον ἀσκητὴν καὶ Χριστοῦ ὑπηρέτην, Ὁσίων καλλονήν, Ἱερέων τὸ κλέος, Γεράσιμον ὑμνήσωμεν, καὶ ᾠδαῖς μεγαλύνωμεν, ὡς ἀσκήσαντα καὶ τῶν δαιμόνων τὰ στίφη, ἐκνικήσαντα τῇ τοῦ Σταυροῦ πανοπλίᾳ καὶ ῥώμῃ καὶ χάριτι.

**Δόξα  ...  τῆς Ἁγίας Ματρώνας Ἦχος δ΄  Ἐπεφάνης σήμερον.**

Τὰ φρικτά σου σκάμματα, Μῆτερ Ματρῶνα, εὐφημεῖν οὐ δύναται φύσις βροτεία πρεπωδῶς· πῶς οὖν ἡμεῖς εὐπορήσαιμεν, ὕμνοις ἀξίοις τὸ χρέος ἀφοσιώσασθαι.

**Καὶ νῦν  ...  Θεοτοκίον.**

**Χρυσωθεῖσα πνεύματι,** Κιβωτὸς ὤφθης ἡ τὸν κόσμον σώζουσα, τῆς καταιγίδος τῆς πικρᾶς, καὶ εἰς λιμένα ἐπάγουσα **τῆς σωτηρίας τοὺς θέλοντας σῴζεσθαι.**

**Μετὰ τὴν β'. στιχολογίαν.  Κάθισμα ἦχος γ'. Τὴν ὡραιότητα.  Ἁγ. Γερασίμου.**

**Ἅπαν τὸ φρόνημα, σαρκὶ ἐμάρανας**, βίου ὀρθότητα, ἀσκήσας ἄριστα, καὶ τῶν καμάτων ἀμοιβήν, τὰ θαύματα ἐκομίσω, ὅθεν και

τὸ σκῆνός σου, τὸ σεπτὸν καὶ σεβάσμιον, βρύει τὰ ἰάματα, τοῖς εἰς μετὰ πίστεως προσπίπτουσι τῇ θείᾳ σκέπῃ, Πάτερ θέοφρον Γεράσιμέ.

**Τῆς Ἁγίας ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.**

Ἐξιστᾶ τὰ σὰ σεμνή, πᾶσαν βροτείαν ἀκοήν, καὶ διάνοιαν καὶ νοῦν, ἐκπλήττει μέγεθος τῶν σῶν, ἀγωνισμάτων Ματρῶνα καὶ παλαισμάτων, ἐκ πρώτης ἡλικίας γάρ, ἀκολουθοῦσα Χριστῷ, προθέσει ὁλικῇ, ἀσκητικαῖς ἀγωγαῖς, τὰς τῆς σαρκὸς ἐνέκρωσας, ἁπάσας, ἐπαναστάσεις πανθαύμαστε, καὶ διαβόλου, τὴν ἐπηρμένην, ὀφρὺν καθεῖλες καὶ ᾔσχυνας.

**Δόξα ... τοῦ Ἁγίου Ἀρτεμίου. Ἦχος πλ. α'. Τὸν συνάναρχον.**

Ἀρτεμίου τοὺς πόνους ἀνευφημήσωμεν, ἱερῶς ἀθροισθέντες ἐν τῷ πανσέπτῳ ναῷ, τοῦ ἀθλοφόρου ψαλμικῶς, ὦ φιλέορτοι, μακαρίσωμεν πιστῶς, καὶ ἐκβοήσωμεν αὐτῷ· ὁπλῖτα τῆς εὐσεβείας, μὴ διαλείπῃς πρεσβεύων, ὑμῖν δοθῆναι εἰρήνην καὶ μέγα ἔλεος.

**Καὶ νῦν ... Θεοτοκίον.**

**Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον**, χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε, χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητούς, πρὸς τὴν αἰώνιον ζωήν, χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, **τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.**

## Μετὰ τὸν Πολυέλεον Κάθισμα ἦχος πλ. δ'. Τὴν σοφίαν καΐ λόγον.

**Τὴν ῥοώδη ἀπείπω Μῆτερ σκηνήν**, τῆς ἀσκήσεως ᾖρω χρηστὸν ζυγόν, Ματρῶνα ἀοίδιμε, καὶ ὀπίσω εἰσέδραμες, τοῦ Νυμφίου τοῦ κάλλει, ὡραίου καὶ ἔκραζες, ἀποθάνω ὡς ἴδω, τὴν σὺν ὡραιότητα· ὅθεν σὺν Ἀγγέλοις ἐντρυφᾷν ἠξιώθης, τῆς αἴγλης καὶ λαμπρότητος, τῆς Τριάδος θεόληπτε· διὸ πίστει βοῶμέν σοι· πρόσδεξαι ὕμνους ἡμῶν, ὦ σεμνή, τῶν πταισμάτων ἄφεσιν ἀμείβουσα, ταῖς πρὸς Θεόν σου πρεσβείαις δεόμεθα.

**Ἁγίου Ἀρτεμίου ὁ αὐτός.**

Ἐξ οἰκείων αἱμάτων ὁ ἀθλητής, ἑαυτῷ πορφυρίδα βάψαι καλῶς, ὡραῖος τοῖς μίγμασι, τῷ Χριστῷ προσενήνεκται, τρισηλίου δόξης, φωτὶ λαμπρυνόμενος· καὶ ἡμᾶς φωτίζων, αὐτὸν μακαρίζοντες· ὅθεν τὴν φωσφόρον, καὶ σεπτὴν αὐτοῦ μνήμην, τελοῦντες λαμβάνομεν, ἰαμάτων χαρίσματα, ᾧ ἐν πίστει βοήσωμεν, πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ πάντων τῶν πόθῳ τελούντων τὴν φωσφόρον καϊ εὔσημον μνήμην σου.

**Δόξα ... τοῦ Ἁγίου Γερασίμου. Ἦχος ὁ αὐτός.**

Ἐγκρατείᾳ καὶ πόνοις καὶ προσευχαῖς, τὴν ψυχήν σου κοσμήσας θεοπρεπῶς, γέγονας συμμέτοχος τῶν Ἀγγέλων μακάριε, καὶ τῶν θαυμάτων ὄντως χαρίσματα ἔλαβες τοῦ ἰᾶσθαι τάς νόσους τῶν πίστει τιμώντων σε, ὅθεν καὶ δαιμόνων, ἀπελαύνεις τὰ πλήθη, καὶ παρέχεις ἰάματα τοῖς ἀνθρώποις Μακάριε. Θεοφόρε Γεράσιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Καὶ νῦν ... Θεοτοκίον.**

**Τοῦ ἡλίου νεφέλη τοῦ νοητοῦ,** θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε, ἀμόλυντε, παναμώμητε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ καταύγασον δέομαι, καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, καὶ τοῦ ῥύπου με κάθαρον, ἵνα πόθῳ κραυγάζω σοι· Θεοτόκε πανύμνητε, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς εὐσεβῶς **προσκυνοῦσι τὸν πανάγιον τόκον σου.**

## Ἀντίφωνον.

**Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.**

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

**Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.**

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

**Δόξα ...**

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

**Καὶ νῦν ...**

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν **πρὸς ζωογονίαν.**

## Προκείμενον Ἦχος δ'.

**Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.**

Μακάριος ἀνὴρ **ὁ φοβούμενος τὸν Κύριον.**

## Ἡ Τάξις τοῦ Εὐαγγελίου.

**Τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

**Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον (ἐκ γ').**

**Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.**

**Κύριε, ἐλέησον (γ').**

**Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.**

**Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου.**

**Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου ...**

**Πρόσχωμεν.**

**Δόξα σοι, Κύριε, δόξα σοι.**

## Ἐκ τοῦ κατὰ Λουκᾶν στ΄ 17 – 23.

**Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος**
μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς
Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ
ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, [18]καὶ οἱ
ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· [19]καὶ
πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ
ἐξήρχετο καὶ ἰᾶτο πάντας. [20]Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς
αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι
ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. [21]μακάριοι οἱ πεινῶντες νῦν,
ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαίοντες νῦν, ὅτι
γελάσετε. [22]μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ
ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα
ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. [23]Χαίρετε ἐν
ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε**· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς
ἐν τῷ οὐρανῷ.**

**Δόξα σοι, Κύριε, δόξα σοι.**

## Ψαλμὸς 50

- **Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ** πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
- ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
- ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.
- σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
- ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
- ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

- ραντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
- ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
- ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
- καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
- μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
- ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
- διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
- ρῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου˙ ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
- Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
- ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν˙ ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
- θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
- ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ˙
- τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα˙
- **τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.**

**Δόξα...** Ἦχος β'

**Ταῖς τῶν Ὁσίων** καὶ τοῦ ἀθλοφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν ...**

**Ταῖς τῆς Θεοτόκου**, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου**

**Καὶ τὰ Ἰδιομελα. ἦχος πλ. β'. Ἁγίου Ἀρτεμίου. Ἦχος πλ. β΄.**

**Σήμερον ἡ οἰκουμένη πᾶσα**, ταῖς τοῦ ἀθλοφόρου αὐγάζεται ακτῖσι· καὶ ἡ τοῦ Θεοῦ Ἐκκλησία τοῖς ἄνθεσιν ὡραϊζομένη, Ἀρτέμιε βοᾷ σοι, θεράπον Χριστοῦ, **καὶ προστάτα θερμότατε· μὴ ἐλλείπῃς πρεσβεύων πρὸς Κύριον.**

**Ἁγίου. Γερασίμου ὁ αὐτός.**

**Γεράσιμε Ὅσιε**, τῇ πολιτείᾳ ἰσάγγελε, καὶ πιστὲ θεράπων Χριστοῦ, ὡς ἔχων παρρησίαν πρὸς τὸν Σωτῆρα Χριστόν, περίσωζε ἡμᾶς ταῖς εὐπροσδέκτοις πρεσβείαις σου, ἀπὸ παντοίων κινδύνων, **ὅτι πρὸς σὲ καταφεύγομεν.**

**Τῆς Ἁγίας Ματρώνης ἦχος β'.**

**Σήμερον ἡ Παρθένος**, συγκαλεῖ Ματρῶνα ἅπαντας, πρὸς λαμπρὰν ἑστίασιν τῶν αὐτῆς παλαισμάτων, αἱ δυνάμεις τῶν οὐρανῶν ἐξέστησαν, τὸ ἐκείνης πρὸς τοὺς πόνους ἀνένδοτον, Σατᾶν ἡ ἰσχὺς τεθριάμβευται, καὶ δαιμόνων ἡ πληθὺς διωλόλυξεν, ἡμεῖς δὲ τῷ ἐνδυναμώσαντι αὐτήν, δόξαν δῶμεν πάντες Χριστῷ, **ὃς φύσεως τὸ χαῦνον δυναμοῖ οἰκείῳ**

**Σῶσον, ὁ Θεός, τὸν λαόν σου ...**

**Κύριε, ἐλέησον (ιβ').**

**Ἐλέει, καὶ οἰκτιρμοῖς ...**

## ΚΑΝΟΝΕΣ.

**Ὁ Κανὼν τοῦ Ἁγίου Μεγαλομάρτυρος. Ὠδὴ α΄. Ἦχος β΄.Ἐν βυθῷ κατέστρωσε.**

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

**Τὸν ἀγῶνα Μάρτυς τὸν καλόν**, ὡς ἀγωνισάμενος, καὶ τοὺς λαμπροὺς στεφάνους κομισάμενος, τῷ φωτὶ παρίστασαι,

φωτιζόμενος κατὰ μέθεξιν ἄϋλον· ὅθεν δυσωποῦμεν, φώτισον ἡμᾶς ταῖς ἱκεσίαις σου.

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Ἡ φαιδρά σου Μάρτυς ἑορτή, πάντας συνεκάλεσε, χαρμονικῶς εἰς πανδαισίαν σήμερον, προθεῖσα τοὺς ἄθλους σου, τὰ παλαίσματα, καὶ τὴν ἀνδρείαν ἔνστασιν, ὧν κατατρυφῶντες, πίστει σε καὶ πόθῳ μακαρίζομεν.

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Νεκρωθέντα Μάκαρ ἐν σταυρῷ, τὸν ἀκατανόητον, σωματικῶς κατανοήσας Κύριον, τῆς ζωῆς τὸν αἴτιον, ἐθελούσιον ἐπεπόθησας νέκρωσιν, τὴν διὰ βασάνων· ὅθεν ἀθανάτου δόξης ἔτυχες.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον**

Σαρκωθεὶς ἐκ σοῦ θεοπρεπῶς, Λόγος ὁ ἀσώματος, ὑπερβολῇ φιλανθρωπίας Πάναγνε, πάθει προσωμίλησε, καὶ ἀπάθειαν τοῖς ἀνθρώποις ἐπήγασεν, ὁ δεδοξασμένος Κύριος· **ἐνδόξως γὰρ δεδόξασται.**

**Κανὼν πρῶτος τοῦ Ἁγίου Γερασίμου. Ἦχος πλ. δ΄. ̓Αρματηλάτην Φαραώ.**

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

**Γνῶσιν θείαν καὶ λόγον χορήγησον,***Λόγε Θεοῦ καὶ Θεέ, *ταῖς τοῦ Γερασίμου, τοῦ σὲ μεγαλύναντος, *Υπεράγαθε, ὡς ἄν τούτου ὑμνήσω, *τῶν ἀρετῶν τὰ παλαίσματα, καὶ τὰ τῆς ἀσκήσεως σκάματα.

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Ἐκ νεαρᾶς τῆς ἡλικίας Ὅσιε, *ὅλον ἀνέτεινας, *πρὸς Χριστὸν τὸν πόθον, *οὐρανίῳ ἔρωτι, *καὶ κοσμικὴν τερπνότητα, *παριδὼν θεοφρόνως, *τούτου τοῖς ἴχνεσιν ἔσπευσας, *βίῳ ἰσαγγέλῳ Γεράσιμε.

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Ῥημάτων θείων πληρωτὴς γενόμενος, *πάτερ Γεράσιμε, *μετανάστης ὤφθης, τῆς πατρίδος Ἅγιε, *γονεῖς ἀπαρνησάμενος,

*καὶ γηίνων τὴν σχέσιν, *καὶ ξενιτεύσας ἀπείληφας, *πλοῦτον ἀληθῶς τὸν οὐράνιον.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον**

Ἀπειρογάμως τοῦ παντὸς τὸν αἴτιον. *ἐν εἴδει τῷ καθ' ἡμᾶς, *ὑπὲρ νοῦν καὶ λόγον, τέτοκας Πανάχραντε. *ὃ ἦν μὲν διαμείναντα, τοῖς ἀνθρώποις δὲ πᾶσι, * τὴν σωτηρίαν βραβεύσαντα, * **καὶ τὴν ἐκ τοῦ Ἄδου ἀνάκλησιν.**

**Ὁ αὐτός. Ἁγίας Ματρώνης. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.**

**Στίχ. Αγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.**

**Ματρῶναν τιμήσωμεν,** τὴν ἱερὰν ὦ θεόφρονες, καμάτους γεραίροντες τοὺς ὑπὲρ φύσιν αὐτῆς, καὶ τὰ σκάμματα, καὶ τὴν πρὸς ἀοράτους, ἀνένδοτον ἔνστασιν, ἐχθροὺς ἀλάστορας.

**Στίχ. Αγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.**

Ἀβέβαιον ἄστατον, ἅπαν εἰδυῖα πανθαύμαστε, τερπνὸν τὸ ὁρώμενον, μόνα ἐπόθησας, τὰ ἀόρατα, Ματρῶνα καὶ ἐμφρόνως, τὰ ἄνω Βασίλεια, κτήσασθαι ἔσπευσας.

**Δόξα Πατρί ...**

Ὡς κρίνον σε εὔοσμον, ὡς ῥόδον εὔχρουν ὑπέρτιμε, Θεὸς μέσον εὕρηκε, τῶν ἀκανθῶν καὶ αὐτοῦ, κατηγλάϊσε, ταῖς χάρισι Ματρῶνα, καὶ Χίοις σε ἔδειξε δόξαν καὶ καύχημα.

**Καὶ νῦν ... Θεοτοκίον.**

Ναὸς καὶ παλάτιον, εὐρυχωρότατον πέφηνας, Θεοῦ παναμώμητε, μόνη χωρήσασα, καθαρότητος, ἁγνὴ περιουσία, χωρεῖν, **ὃν οὐ δύναται, εὖρος οὐράνιον.**

**Ὁ Κανὼν τοῦ Ἁγίου Μεγαλομάρτυρος. Ὠδὴ γ΄. Ἦχος β΄. Ἐξήνθησεν ἡ ἔρημος.**

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

**Μαρτύρων καλλωπίζεσθαι**, τοῖς στεφάνοις Ἔνδοξε, ἐπιποθῶν ὑπήνεγκας, τῶν μαστίγων καὶ τῶν στρεβλώσεων, τὰς πικρὰς ἀλγηδόνας θείᾳ χάριτι.

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Οὐκ ἔσεισε τὸν πύργον σου, τῆς καρδίας Πάνσοφε, ἡ σφοδροτάτη πρόσρηξις, τῶν βασάνων· καὶ γὰρ ἐστήρικτο, νοητὴν ἐπὶ πέτραν τὴν ἀσάλευτον.

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Ἰκρίῳ ἀναρτώμενος, καὶ νιφάσι πάντοθεν, τῶν σπαραγμῶν κυκλούμενος, σοῦ τὸ ὄμμα πρὸς τὸν δυνάμενον, ἐνητένιζες σῴζειν Ἀξιάγαστε.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον**

Σεσάρκωται βουλήματι, ἐξ αἱμάτων Δέσποινα, σοῦ παναχράντων Κύριος, διασῴζων τὴν ἀνθρωπότητα, **καὶ Μαρτύρων τοὺς δήμους ἐπεσπάσατο.**

**Ὠδὴ γ΄. Τοῦ Ἁγίου Γερασίμου. Ἦχος πλ. δ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.**

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

**Σταυρὸν βαστάζων τοῦ Χριστοῦ,** ἐπὶ τῶν ὤμων σου Πάτερ, ἀπὸ τόπου διατρέχεις εἰς τόπον, ἀναβάσεις τὰς σεπτάς, μυούμενος Γεράσιμε, ἀνδρῶν τῶν ἐναρέτων, ὧν μιμητὴς ὤφθης ἄριστος.

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Ισχὺν λαβὼν παρὰ Θεοῦ, ὡς ἐνεδύσω τὸ σχῆμα, τῶν ἀγγέλων ἐν τῷ ὄρει τοῦ Ἄθω, ἀπεβάλου πᾶν φθαρτόν, ἐκ τῆς ψυχῆς Γεράσιμε, ἀγγελικὴν ἐν πᾶσιν, ἐπιδεικνύμενος ἅμιλλαν.

**Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Μαράνας Πάτερ τῆς σαρκός, δι᾽ ἀρετῆς τὰς ὀρέξεις, τὰς ἀφθάρτους δωρεὰς ἐκομίσω, καὶ τὸ σῶμά σου σαφῶς, ἀφθαρτισθὲν Γεράσιμε, ἡ Κεφαλλήνων νῆσος, ὡς θησαυρὸν μέγαν κέκτηται.

**Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον**

Ὄρος ἐδείχθης νοητόν, ὡς ὁ προφήτης προλέγει, καὶ κατάσκιον χαρίσμασι θείοις, Θεοτόκε Μαριάμ· ἐκ σοῦ γὰρ προελήλυθε, Χριστὸς σῴζων τὸν κόσμον, **τοῖς τῆς σαρκὸς αὐτοῦ πάθεσι.**

**Αγίας Ματρώνας Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.**

**Στίχ. Αγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.**

**ᾈσμάτων καὶ κρότων πανολβία**, τὰ σὰ ὄντως ἄξια τελεῖ, Θεὸν γὰρ τοῖς σοῖς μέλεσι, τοῖς ἱεροῖς ἐδόξασας καὶ τούτῳ θῦμα γέγονας, καὶ ἱερὸν καλλιέρημα.

**Στίχ. Αγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.**

Ὕδατος στενώσασα καὶ ἄρτου, ἐνδείᾳ Ματρῶνα κομιδῇ, γαστέρα πᾶσαν ἔφεσιν, τὴν ταύτης ἐχαλίνωσας· διὸ εὐρυχωρότατον, ἐν οὐρανοῖς πλάτος ἔφθασας.

**Δόξα Πατρί…**

Μεγάλως ἀσκήσασα καὶ πόνοις, μεγάλοις τιμήσασα Χριστόν, μεγάλα ὄντως εὕρηκας, ἐν οὐρανίοις τὰ ἔπαθλα, καὶ τὰ βραβεῖα ἔνδοξε, τῶν ὑπὲρ φύσιν καμάτων σου.

**Καὶ νῦν ... Θεοτοκίον.**

Νεκρὸς χρηματίζων οὐ γινώσκω, κακίας τῷ κάρῳ συσχεθείς, καὶ μέθῃ ἀπογνώσεως, βεβαπτισμένος Δέσποινα· ἀλλ᾽ ἡ νεκροὺς **ζῳώσαντα τεκοῦσα, αὕτη με ζῴωσον.**

**Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Ἁγ. Γερασίμου Κοντάκιον . Ἦχος δ'. Ἐπεφάνης σήμερον.**

**Ἐγκρατείας Ὅσιε** τὸν νοῦν καθάρας, καὶ ἁγνείᾳ σώματος καταλαμπρύνας τὴν ψυχήν, ἀνεπτερώθης πρὸς ἄληκτον **καὶ θείαν δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν**.

**Ὁ Οἶκος.**

**Σὲ τὸν ἐπὶ γῆς νεοφανέντα ἀστέρα καὶ** βίῳ ἀγγελικῶν παραδόξως πολιτευσάμενον, καὶ ταῖς φεγγοβόλοις τῶν θαυμάτων ἀκτῖσι τηλαυγῶς ἀναλάμψαντα καὶ σεπτὸν δοχεῖον τοῦ Πνεύματος χρηματίσαντα, καὶ τῷ νοητῷ στερεώματι τῆς Ἐκκλησίας τεθέντα καὶ πᾶσιν ἄφθονος τὰ ἰάματα ἀναβλύζοντα, στέμμασιν εὐφημιῶν ἀναδύομεν καὶ ἀνυμνοῦντες κράζομεν˙ τὴν Μονήν, καὶ τὴν Νῆσόν σου, Ἅγιε περίσῳζε ἀεὶ ταῖς πρεσβείαις σου, παντὸς κινδύνου ἀπήμονας˙ σὲ γὰρ φρουρὸν καὶ φύλακα καὶ προστάτην θερμότατον κέκτηται· καὶ τὸ θεῖόν σου σκῆνος σέβουσαι πόθῳ τὸ θαυματόβρυτον ἀκαταπαύστως βοῶσί σοι˙ Χαίροις τὸ ἡμῶν καύχημα Ὅσιε, ὁ ἀναπτερωθεὶς πρὸς τὴν ἄληκτον, **καὶ θείαν δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.**

**Κοντάκιον τῆς Ἁγίας Ματρώνας  Ἦχος γ'. Ἡ Παρθένος.**

**Οὐδαμῶς τὸ θῆλύ σοι,** ἐμποδὼν ὤφθης Ματρώνα, πρὸς τοὺς ὑπὲρ ἄνθρωπον, ἀγῶνας ὄντως καὶ ἄθλους· ᾔσχυνας διὸ τὸν μέγαν νοῦν θεοφόρε, εὔφρανας τὸ γυναικεῖον μεγάλως γένος, τὸ ἐκείνων ταῖς σαῖς νίκαις, **προσαφελοῦσα τὴς ἥττης ὄνειδος.**

**Ὁ οἶκος.**

**Τοὺς γενναίους ἀγῶνας ἁγνή,** οὓς διήνυσας, οὐ πρὸς αἷμα καὶ σάρκα ἀλλὰ πρὸς τάς ἀρχὰς τοῦ σκότους, καὶ τῆς ἐξουσίας πυκτεύουσα, τίς ἀξίως θαυμάσειε; καὶ γὰρ ὑπερβαίνει πάντα λόγον καὶ διάνοιαν τὰ σὰ προτερήματα˙ πῶς σὰρξ οὖσα καὶ αἷμα, γῆ καὶ σποδὸς οὐ πρὸς τὴν κάτω ἔβλεψας φύσιν, οὐ τῇ τῶν ὁρωμένων ἐθέλχθης ἡδύτητι, ἀλλ' ἀπεῖδες ὅλῳ τῷ νοΐ πρὸς τὸν οὐρανον, καὶ μόνον τὸ ἀμήχανον ἐκεῖνο κάλλος ἐπόθησας καὶ τοῖς σοῖς ὑπερφυέσιν ὡς ἀληθῶς σπουδάσμασιν, Ἀγγέλων εὔφρανας συστήματα˙ ἀνθρώπους ἐξέπληξας· δαίμονας ᾔσχυνας·

τὸ θῆλυ γένος τετίμηκας, τὸ ἐκείνων ταῖς σαῖς νίκαις, **προσαφελοῦσα τῆς ἥττης ὄνειδος.**

Κάθισμα Ἁγίου Ἀρτεμίου. Ἦχος δ' Ὁ ὑψωθεὶς.

**Τὸν στρατιώτην τοῦ Χριστοῦ τὸν ἀήττητον**, καὶ καθαιρέτην τοῦ ἐχθροῦ γενναιότατον, τὸν ἐν μεγίστοις τέρασιν ἐκλάμψαντα, ἅπαντες Ἀρτέμιον, εὐφημήσωμεν πίστει· βρύει γὰρ ἰάματα, τοῖς προστρέχουσι πόθῳ, καὶ καταπαύει πάθη χαλεπά, καὶ **τῶν ἐν θλίψει ἀνθρώπων προΐσταται.**

Ἁγίου Γερασίμου Κάθισμα Ἦχος πλ.δ' . Τὴν σοφίαν καὶ λόγον.

**Γεννητόρων τὸν πόθον ὑπεριδών**, καὶ Χριστὸν ἀγαπήσας ὁλοσχερῶς. αὐτῷ ἠκολούθησας, μέχρι τέλους ἀοίδιμε· τὸν γὰρ σταυρόν σου ἄρας, ἐπ' ὤμων ἀνέδραμες, εἰς ἀβάτους; ἐρήμους, διάγων ὡς ἄσαρκος· ὅθεν καὶ πλουσίας ἀμοιβὰς τῶν σῶν πόνων, ἐδέξω μακάριε, ἐκ χειρὸς τοῦ Κυρίου σου, θεοφόρε Γεράσιμε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, **τοῖς ἑορτάζουσι πόθῳ τὴν Ἁγίαν μνήμην σου.**

Δόξα ... τῆς Ἁγίας Ματρώνης. Ἦχος ὁ αὐτός. Τὴν σοφίαν καὶ λόγον.

**Ἀγλαΐαις ἐκλάμψασα ἀρετῶν**, κατηγλάϊσας κόσμον ταῖς ἀστραπαῖς, τῶν θείων θαυμάτων σου, ὦ Ματρῶνα θεόπνευστε, καὶ ῥαθύμων ἐγείρεις, ψυχὰς εἰς ἐγρήγορσιν, ἐντολῶν τοῦ Κυρίου, καὶ ζῆλον τὸν ἔνθεον· μέγα παρασχοῦσα, πρὸς ἐκμίμησιν ὄντως, ὑπόδειγμα πάνσοφε, σεαυτὴν οἷς ὑπέρτερον, τῆς τοῦ θήλεως φύσεως, τὸ φρόνημα ἀνέδειξας σεμνή, καὶ ἀνδρικὰ διήνυσας πανεύφημε, ἔνσαρκος ἀσθενείᾳ**, ἐπὶ γῆς ἀγωνίσματα.**

Καὶ νῦν ... Θεοτοκίον.

**Τὸ πολύφωτον ὄχημα τοῦ Θεοῦ,** τοῦ νοός μου τὰ νέφη τὰ σκοτεινά, Δέσποινα, διάλυσον, τῷ φωτὶ τοῦ προσώπου σου· καὶ μετανοίας φέγγει, τὰ ὄμματα φώτισον, τῆς ζοφερᾶς ψυχῆς μου, παθῶν ἀμαυρότητι, τὰ πεπωρωμένα, καὶ τυφλώττοντα πάντῃ, τῶν φαύλων μου πράξεων, θολεραῖς ἐπιχύσεσιν, ἵνα πίστει κραυγάζω σοι· Θεοτόκε Ἀειπάρθενε, πρέσβευε Χριστῷ τῷ Θεῷ,

τῶν κακῶν μου δοῦναί μοι τὴν ἄφεσιν, **σὲ γὰρ ἔχω ὁ δοῦλός σου, ὀξυτάτην βοήθειαν.**

**Ὠδὴ δ'. Ἁγίου Ἀρτεμίου Ἦχος πλ. δ'. Εἰσακήκοα Κύριε.**

**Μὴ πτοούμενος ἔνδοξε** τὸ τοῦ παραβάτου ἄθεον φρύαγμα, ἀποτόμως τὴν κακόνοιαν. ἀπελέγξας τούτου καὶ δυσέβειαν.

Ἐπτέρωθης τῷ ἔρωτι, τῷ διὰ Χριστοῦ παμμακάριστε, τοῦ τυράννου τὴν ἀσέβειαν, ἀπεκρούσω ὅλως βδελυξάμενος.

Γηθοσύνως Ἀρτέμιε, καὶ γενναιοφρόνως ἐπηυτομόλησας, πρὸς τὸ σκάμμα τῆς ἀθλήσεως, καὶ τὸν ἀποστάτην ἀπερράπισας.

**Θεοτοκίον.**

**Ἱλασμὸς ἡμῖν φάνηθι,** τοῖς κατεγνωσμένοις Σωτὴρ ὡς εὔσπλαγχνος ἱκεσίαις τῆς τεκούσης σε, καὶ τοῦ ἀθλοφόρου δυσωπούμενος.

**Ὠδὴ δ', Ἁγίου Γερασίμου. Ἐπαρθέντα σε ἰδοῦσα.**

**Οἱ ἐν πίστει προσιόντες**, θείῳ τεμένει, τῷ σῷ σεπτῷ Γεράσιμε θεόληπτε Μάκαρ, ῥῶσιν ἐκ ποικίλων παθῶν, ἀφθόνως λαμβάνουσι, ὕμνον εὐγνωμόνως σοι ᾄδοντες.

Ὁ τὰ πάντα προγιγώσκων, τὴν σὴν καρδίαν εἰδὼς εὐθεῖαν, ὅλην κεκραμένην τῷ φίλτρῳ, ἔρωτί τε τῷ πρὸς αὐτόν, ὡς λύχνον μονάζουσιν, ἔδειξε Γεράσιμε λάμποντα.

Ὡς ὑψίκομον ὠράθης δένδρον παμμάκαρ, σοῖς ὀχετοῖς δακρύων ἀρδευόμενος, Πάτερ τεραστίων καρπούς, ἐκφέρων τοῖς χρῄζουσι, πάντων τῶν δεινῶν ἐξαιρούμενος.

**Θεοτοκίον.**

**Τὴν ὑπέραγνον Μητέρα σου** εἰς πρεσβείαν, σὺν τῷ σεπτῷ και θείῳ ποιμένι Γερασίμῳ, ἅπαντες δούλους σου πιστούς, Οἰκτίρμον δεχόμενος ταύτην σου τὴν ποίμνην στερέωσον.

**Ὠδὴ δ'. Ἁγίας Ματρώνης Ἦχος δ'. Ὁ καθήμενος ἐν δόξῃ.**

**Ὢ τῆς ὑπερφυεστάτης καὶ γενναίας ἐνστάσεως** ! ἐν θηλείᾳ φύσει, ἣν ἀρρενωπῷ τῷ φρονήματι, πρὸς τάς ἀρχὰς ἐπεδείξω παναοίδιμε, ἐξουσίας τε, καὶ τοὺς δεινοὺς κοσμοκράτορας.

Τέμνεις ξένην ὁδὸν βίου, καὶ σαφῶς ὑπερκόσμιον, μέσον Κόσμου Μῆτερ, τῆς ἐπιμιξίας μηδ᾽ ὅλως γε, τῆς τῶν πολλῶν δυνηθείσης, ἐκχαυνῶσαί σου τὸ ἀνένδοτον, καὶ πρὸς τὰ κρείττονα εὔτονον.

Ἡ κρατίστη πρὸς τὸ θεῖον, καὶ ἀνένδοτος νεῦσίς σου, ὅλην θεοφόρε, σὲ θεοειδῆ ἀπειργάσατο, καὶ τηλαυγῆ τοῖς ὁρῶσι, τὰ γνωρίσματα, τὰ τῆς χάριτος, τῆς θείας ὄντως παρέχουσαν.

Σαρκὸς κτείνασα τὰ πάθη, τὴν ψυχὴν δὲ ζῳώσασα˙ εὐχῇ τὸν θανόντα, σῇ ζωοποιεῖς καὶ προστάγματι. Καὶ τοῦτο ἄρα τὸ θαῦμα, ἐναπέδειξεν, ἥν πεπλούτηκας, παρὰ Θεοῦ χάριν ἔνδοξε.

**Θεοτοκίον.**

Χαλινὰ τοῦ θείου νόμου, πάντα ῥήξας ὁ δείλαιος, ἀκρατῶς ἐλαύνω, πρὸς κακίας οἴμοι τὰ βάραθρα, οἷα δυσήνιος ἵππος, ἀλλὰ σὺ σεμνή, τῷ τοῦ σοῦ **Υἱοῦ χρηστῷ ζυγῷ με ὑπόταξον.**

**Ὠδὴ ε΄. Τοῦ Ἁγίου Ἀρτεμίου. Ἦχος πλ δ'. Ὀρθρίζοντες βοῶμέν σοι.**

**Στερρῶς ἀντιταξάμενος ἔνδοξε**˙ τῷ τυράννῳ κλέος ἀναφαίρετον ἐδέξω μάρτυς Ἀρτέμιε.

Τοὺς πόνους τῶν μεγίστων θεόσοφε, καὶ στρεβλώσεις καρτερῶς ὑπήνεγκας τὸν στεφοδότην μιμούμενος.

Ὁλόσωμον ὑπέφερες, κάκωσιν ἀθλοφόρε· ἥτις σοι τὴν ἄρρητον, λῆξιν, σαφῶς προεξενησε.

**Θεοτοκίον.**

Νοῆσαι τῶν μυστηρίων, ἄχραντε τοῦ σοῦ τόκου, Οὐρανῶν τὰ τάγματα **καὶ τῶν ἀνθρώπων οὐκ ἴσχυσαν.**

**Ἁγίου Γερασίμου Ὠδὴ ε'. Ἦχος δ'. Ἐξέστη τὰ σύμπαντα.**

**Ἱκέσιον δέησιν, τῆς σῆς ποίμνης Γεράσιμε**, ἔνδοξε αυτῆς θεῖε προστάτα, δέξαι καὶ ῥῦσαι ἐκ πολεμίων ἐχθρῶν, ταῖς σαῖς πρὸς τὸν εὔσπαγχνον Θεόν, ἱεραῖς ἐντεύξεσιν, διασώζων ἀκλόνητον.

Ἀγέλην τὴν θείαν σου, ἣν ἐκ Θεοῦ πεπίστευσαι, ἔνδοξε Γεράσιμε παμμάκαρ, τήρει ἀπήμονα ἐξ ἐχθρῶν δυσμενῶν, παντοίω τε ἄλλων δυσχερῶν, τὴν σεπτῶς ὑμνοῦσάν σε καὶ πιστῶς μεγαλύνουσαν.

Ἑόρτιον σήμερον, ἐν τῇ σεπτῇ κοιμήσει σου, πᾶσα ἡ πληθὺς ἀΰλων νόων, δῆμος Ὁσίων, καὶ τῶν Δικαίων ὁμοῦ, κροτεῖ σὺν ἡμῖν χαρμονικῶς, αἶνόν σοι προσάγοντες, καὶ τῷ Κτίστῃ Γεράσιμε.

Χριστὸν ἡ κυήσασα, αὐτὸν ἡμῖν εὐΐλατον, ποίησον ὡς Μήτηρ τοῦ ἐλέους, ἄφεσιν δοῦναι, τῶν ἐπταισμένων Ἁγνή, καὶ θείας ἀξίωσον τρυφῆς, τοὺς είς σὲ ἐλπίζοντας, **καὶ πρὸς σὲ καταφεύγοντας.**

**Ἁγίας Ματρώνης. Ὠδή ε΄. Ἦχος ὁ αὐτός.Νῦν ἀναστήσομαι.**

**Ἰδοὺ προσώζεσαν οἱ τῆς ἐμῆς**, μώλωπες ψυχῆς, καὶ κατεσάπησαν ὦ παναοίδιμε, οὓς ὑπέστην ἐκ πολλῆς τῆς ἀφροσύνης, ἀλλὰ σὺ ταῖς ἱεραῖς σου σεμνή, προσευχαῖς με ἴασαι.

Οὐδὲν ὁ πόλεμος ὁ τοῦ ἐχθροῦ, πρὸς τὸ ἐμβριθές, τοῦ σοῦ φρονήματος, οὐδὲν ἡ ἔνστασις, οὐδὲν πᾶσα, ἡ αὐτοῦ πανστρατιά τε, καὶ παράταξις, ἱστὸς πάντα γὰρ ἀράχνης ἠλέγχθη σοι.

Ὑπερφυῶς τῆς σῆς ψυχῆς, ὁ πρὸς τὸν Θεόν, ἔρως θεόσοφε κρατήσας ἔπεισε, πᾶσαν ἔφεσιν σαρκὸς ἐναποστέρξαι, καὶ τὸ πῦρ τῶν πειρασμῶν, ὑπελθεῖν λίαν ἐκθυμώτατα.

Τὴν τῶν παθῶν σεμνὴ πυρκαϊάν, ἔσβεσας τοῖς σοῖς δάκρυσιν ὅθεν σε, δρόσος τοῦ Πνεύματος ἐπανέψυξε, καὶ φῶς, ἐν τῇ ψυχῇ σου, ἐπανῆψε νοητόν, ἐμπιπλῶν θείας εὐφροσύνης σε.

**Θεοτοκίον**

Ἡ ῥῆσις δέδεκται, πέρας ἐν σοὶ ἡ προφητικὴ ἐν παρθενίᾳ γὰρ ἁγνὴ συνέλαβες, παραδόξως οὐρανοῦ τὸν συνοχέα, **καὶ ἐκύησας σαρκί, γενεαὶ οὗ τίς διηγήσεται;**

**Ὠδὴ στ΄ Ἁγίου Ἀρτεμίου. Ἦχος πλ. δ΄ Χιτῶνά μοι.**

**Ἰκρίῳ προσπαγέντι σοι Χριστέ,** ὁ κλεινὸς θεράπων σου, οὐκ ἐπαισχύνεται, ἀλλ΄ὡς δόξης κοινωνὸς ἐναμβρύνεται.

Σεσίγηται τῆς πλάνης τὰ αἰσχρά, θεηγόρων, γλώσσῃ δὲ θεῖα μυστήρια, τῶν μαρτύρων τοῦ Χριστοῦ ἐκκαλύπτεται.

Ἀνδρείως μαρτυρήσας τὸν Χριστόν, Θεόν τε καὶ ἄνθρωπον, τυράννων ἐνώπιον, δι΄αὐτὸν σοῦ καὶ τὸ αἷμα ἐξέχεας.

Ὁ λόγος τοῦ Θεοῦ σὲ τοῖς βροτοῖς, Θεοτόκε ἔδειξεν οὐράνιον κλίμακα, διὰ σοῦ γὰρ πρὸς ἡμᾶς καταβέβηκεν.

**Ὠδὴ στ΄ Ἁγίου Γερασίμου. Θύσω σοι μετὰ φωνῆς.**

**Ἄνωθεν, παρὰ Θεοῦ**, τὴν χάριν δεξάμενος, τοῦ ἐκτελεῖν τάς ἰάσεις, τοὺς πρὸς σὲ ἐκ πίστεως προσιόντας σε, διασῴζεις παντοίας βλάβας θεῖε Γεράσιμε.

Ἠμβλυνας, τὰς τοῦ ἐχθροῦ ἐπάρσεις Γεράσιμε, τὰς τούτου παγίδας συνθλάσας, συμμαχίᾳ θείᾳ ἐνισχυμένος, καὶ διέβης πρὸς γαληνούς, λιμένας, γηθόμενος.

Φύλαττε τοὺς σὲ ὑμνοῦντας πόθῳ Γεράσιμε, καὶ τὴν σὴν μνήμην τελοῦντας, ἐπηρείας πάσης ἀπηλλαγμένους, καὶ ἀξίους ἡμᾶς οὐρανίου δόξης ποίησον.

**Θεοτοκίον.**

Ὕψιστε παμβασιλεῦ Θεὲ πολυέλεε, τῆς σῆς Μητρὸς ἱκεσίαις, καὶ τοὺ θείου δούλου σου Γερασίμου, ἡμᾶς πάντας, σοὺς δούλους **ῥῦσαι πάσης κακώσεως.**

**Τῆς Ἁγίας. Ὠδὴ ς'. Ἦχος. δ'. Ἐβόησε προτυπῶν.**

**Νεφέλην σε, δροσερὰν ἡ τοῦ Πνεύματος** ἔδειξε, χάρις Μῆτερ, νοσημάτων ἐξαίρουσαν καύσωνας, καὶ παθῶν ὁμίχλην, πρεσβειῶν σου τῷ φέγγει σκεδάζουσαν.

Πεπλήρωται, καὶ ἐν σοὶ ψαλμικῶς προαγόρευσις. Βασιλεῖ γάρ, τῷ τῶν ὅλων παρθένος ἐξόπισθεν, τῆς Ἀειπαρθένου, σὺν σεμναῖς ἀπηνέχθης νεάνισι.

Ῥοῦν ἔστησας, ἀνιάτων παθῶν ταῖς πρεσβείαις σου, τοῖς τῷ τάφῳ, προσιοῦσι τῷ σῷ μετὰ πίστεως· καὶ ψυχῶν Ματρῶνα, σηπεδόνα δεινῶν ἀπεξήρανας.

**Θεοτοκίον.**

Ὁ ἄχρονος, ὑπὸ χρόνον ἐκ σοῦ κόρη γίνεται, καὶ ὁρᾶται, ὁ Ἀγγέλοις αὐτοῖς ἀθεώρητος, φύσεως βροτείας ὑπελθὼν **φιλανθρώπως τὸ φύραμα.**

**Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν

Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Σὺ γὰρ εἶ ὁ Βασιλεύς τῆς εἰρήνης καὶ Σωτήρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

## Ἅγ. Ἀρτεμίου. Κοντάκιον Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

**Τὸν εὐσεβῆ καὶ στεφηφόρον Μάρτυρα**, τὸν κατ' ἐχθρῶν νίκης ἀράμενον τρόπαια, συνελθόντες ἐπαξίως νῦν ἐν ὑμνῳδίαις εὐφημήσωμεν, Ἀρτέμιον τὸν μέγιστον ἐν Μάρτυσι, θαυμάτων τε δοτῆρα πλουσιώτατον· **πρεσβεύει γὰρ Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.**

## Ὁ Οἶκος.

**Τίς τοὺς ἀγῶνας ἐξαρκέσει ἐξειπεῖν Ἀθλοφόρε**, ἢ τοὺς πόνους τοὺς σούς, οὓς περ ἀνδρείως ὑπέμεινας, διὰ τῆς πίστεως τοῦ Κυρίου, καὶ τῆς χάριτος ἧς περ κατηξιώθης; οὐκ ἐξαρκεῖ διηγήσασθαι στόμα ἀνθρώπινον· σοφίαν γὰρ ἐνδεδυμένος καὶ ἀνδρείαν, τὸν πλοῦτον ἐμίσησας καὶ τὴν ἀξίαν τὴν πρόσκαιρον, στρατιώτης φανεὶς γνησιώτατος. **Καὶ νῦν πρεσβεύεις Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.**

## Σ υ ν α ξ ά ρ ι ο ν.

**Τῇ Κ' τοῦ μηνόςΟκτωβρίου, Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου.**

## Στίχοι.

Ὁ πάντα λαμπρὸς Ἀρτέμιος ἐν βίῳ,
Τμηθεὶς ἀπῆλθεν εἰς ὑπέρτατον κλέος.
Εἰκάδι Ἀρτέμιος πυκινόφρων αὐχένα τμήθη.

**Μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Γερασίμου τοῦ νέου, τοῦ ἐκ Τρικάλων τῆς Πελοποννήσου, οὗ τὸ σεπτὸν καὶ ἅγιον λείψανον σῴζεται ἄφθορον ἐν Κεφαλληνίᾳ.**

**Στίχοι.**

Γεράσιμος κάλλιστον ἤρατο κλέος
Ἐκ τῆς ἄνωθεν ἀγλαῆς εὐκοσμίας.
Ἕκτῃ πιννυτὸς ἔφθανε φῶς δεκάτῃ Γεράσιμος.

**Τῷ αὐτῷ Μηνί, τῆς Ὁσίας Μητρὸς ἡμῶν Ματρώνης τῆς θαυματουργοῦ.**

**Στίχοι.**

Λιποῦσα κόσμον ἔμπλεων ἀκοσμίας.
Χριστῷ πρόσεισι νυμφικῶς ἡ παρθένος.
Εἰκάδι Ματρώνης δέμας γαῖα κάλυψε θανούσης.

**Οἱ Ἅγιοι Μάρτυρες Ἐβόρης, Ἐνόης, Ζεβινᾶς, Γερμανός, Νικηφόρος, Ἀντωνῖνος, καὶ ἡ Ἁγία Μάρτυς Μαναθὼ ἡ παρθένος, ξίφει καὶ πυρὶ τελειοῦνται.**

**Στίχοι.**

Λίθοις Ἐβόρην καὶ σύναθλον Ἐνόην,
Λίθων λάτραι κτείνουσιν ἀθλητοκτόνοι.
Ξίφος Ζεβινᾶν, Γερμανόν, Νικηφόρον
σὺν Ἀντωνίνῳ δεικνύει νικηφόρους.
Τί καὶ καθαρθῇς εἰς τὸ πῦρ βεβλημένη,
Ἁγνὴ Μαναθώ, πνεῦμα σῶμα παρθένε;

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Πατρὸς ἡμῶν Βασιλείου, ἐπισκόπου Τραπεζοῦντος, ζήσαντος ἐπὶ βασιλείας Λέοντος τοῦ Σοφοῦ.**

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.**

## ΚΑΤΑΒΑΣΙΑΙ.

## Ἦχος δ΄. Ὠδὴ α.΄

**Ἀνοίξω τὸ στόμα μου** καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

## Ὠδὴ γ΄.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

## Ὠδὴ δ΄.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

## Ὠδὴ ε΄.

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

## Ὠδὴ ϛ΄.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

## Ὠδὴ ζ΄.

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

## Ὠδὴ η΄.

**Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καί προσκυνοῦμεν τὸν Κύριον.**

**Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ,** ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, **εἰς πάντας τοὺς αἰῶνας.**

**Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.**

**Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον**, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

**Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ˙ ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

**Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

**Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

**Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

**Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραάμ, **καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.**

**Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

## Καταβασία Ὠδὴ θ΄.

**Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι**, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω. **Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.**

**Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

## Ἐξαποστειλάρια τῶν Ἁγίων καὶ τῆς Θεοτόκου. Γυναῖκες ἀκουτισθητε.

**Συνὼν τῷ Παντοκράτορι,** Θεῷ μάρτυς Ἀρτέμιε, καὶ ἀστραπαῖς ταῖς ἐκεῖθεν, λαμπόμενος ἀθλοφόρε, τῶν ἐκτελούντων μέμνησο, τὴν ἱερὰν καὶ πάμφωτον, πανήγυρίν σου ᾄσμασι, τοῦ λυτρωθῆναι παντοίων, ἐπιφορῶν σαῖς πρεσβείαις.

**Ἕτερον τοῦ αὐτοῦ. Τοῖς Μαθηταῖς συνέλθωμεν. Τοῖς Μαθηταῖς**

**Παρεστηκὼς Ἀρτέμιε, τῇ Ἁγίᾳ Τριάδι,** καὶ ἀστραπαῖς λαμπόμενος, τοῖς ἐκεῖθεν πλουσίως, ἐξ οὐρανοῦ ἐποπτεύοις, τοὺς τιμῶντάς σε πόθῳ, μεγαλομάρτυς Ἔνδοξε, συμμαχῶν θείοις ὅπλοις, ὡς τοῦ Χριστοῦ, στρατιώτης ἄριστος ἀθλοφόρε, τῷ σταυροφόρῳ Ἄνακτι, κατ' ἐχθρῶν πολεμίων.

**Ἁγίου Γερασίμου. Γυναῖκες ἀκουτίσθητε.**

**Προστάτην σε θερμοτατον,** Κεφαλληνία κέκτηται, φρουρόν τε φύλακα ῥύστην, διὸ λαμπρῶς τὴν σὴν μνήμην, πανηγυρίζει κράζουσα˙ ἀεὶ σκέπε τὴν Νῆσόν σου, καὶ φύλαττε ἀπήμονα λοιμοῦ λιμοῦ, καὶ κινδύνων Γεράσιμε θεοφόρε.

**Τῆς Ἁγ. Ματρώνης. Ἐπισκέψατο ἡμᾶς.**

**Τῆς ψυχῆς τὸ τριμερές,** εἰς ἀπαθείας ἄβυσσον, κατέδυσας, ὦ Ματρῶνα, καὶ ἀβρόχως τῆς ζωῆς, διαγαγοῦσα πέλαγος, πρὸς γῆν τῆς ἐπαγγελίας τῆς ἄνω κατήντησας.

**Θεοτοκίον ὅμοιον.**

**Ἀκρασίας τῷ καρπῷ, ὁ ὄφις δελεάζων με**, ἡδοναῖς θέλγει τοῦ βίου, καὶ παραβάτην ἐντολῶν, τῶν θείων ἀπεργάζεται, ἀλλὰ σὺ τῷ Θεῷ με, **Παρθένε κατάλλαξον.**

## ΑΙΝΟΙ ΨΑΛΜΟΣ ΡΜΗ' (148).

**Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις˙ Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.**

**Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ˙ αἰνεῖτε αὐτὸν, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ˙ Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.**

**Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.**

**Ἦχος α' Πανεύφημοι μάρτυρες.**

**Μάρτυς γενναιόφρων τοῦ Χριστοῦ,** τῇ στερρᾷ ἀθλήσει σου, τοῦ δυσμενοῦς κατεπάτησας, τὰ μηχανήματα, προσπαλαίσας τοῦτον, καὶ Χριστῷ εὐπρόσδεκτος, θυσία προσηνέχθης Ἀρτέμιε· καὶ νῦν

παρίστασαι τῷ τῶν ὅλων βασιλεύοντι, εἰς αἰῶνας συναγαλλιώμενος.

**Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.**

**Ἦχος α' Πανεύφημοι μάρτυρες.**

Σταυρῷ ὁπλισάμενος Χριστοῦ, μάρτυς ἀξιάγαστε, κατὰ τῆς πλάνης ἐχώρησας, καὶ τὸν ἀντίπαλον, στερροτάτῃ γνώμῃ καρτερῶς ἀνθέστηκας· καὶ τοῦτον ἐκνικήσας σαφέστατα, συμβασιλεύων νῦν, τῷ Δεσπότῃ καὶ Θεῷ ἡμῶν, μνείαν ποίει, ὑπὲρ τῶν τιμώντων σε.

**Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .**

**Γερασίμου Ἦχος πλ. δ'. Τί σε νῦν καλέσωμεν.**

Τί σε ὀνομάσω Γεράσιμε, χορηγὸν τοῖς ἐνδεέσι, καὶ προστάτην ὀρφανῶν καὶ διδάσκαλον παντοίων νοημάτων εὐσεβῶν καὶ πέλεκυν ἐκκόπτοντα ζιζάνια, τῆς πλάνης, καὶ ἀπάτης τῶν αἱρέσεων˙ πολλά σου τὰ προτερήματα, καὶ ἄξια τὰ χαρίσματα ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχάς ἡμῶν.

**Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.**

**Τῆς Ἁγίας Ματρώνης Ἦχος. πλ. δ' Ὢ τοῦ Παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος! πῶς καὶ γυναῖκες ὀφρύν, τοῦ μεγάλα, αὐλήσαντος, καθαιροῦσιν ὄφεως! πῶς ἰσχὺν ἐνεδύσατο, τὴν κατʼ ἐκείνου, τὸ ἀσθενέστατον, τῷ ὄντι φῦλον! πῶς εἰς ἀγῶνας χωρεῖ, τοὺς ὑπὲρ ἄνθρωπον, ἡ τὸ πρὶν εὐόλισθος, φύσις διό, Χριστὸν μεγαλύνομεν τὸν τούτου πρόξενον.

**Δόξα ... Ἁγίου Ἀρτεμίου Ἦχος πλ. δ΄.**

Εἰλικρινῶς σε ποθήσας, ὁ ἔνδοξος ἀθλοφόρος, Χριστὲ ὁ Θεός, τῷ γὰρ σῷ φωτὶ καταυγασθείς, καὶ τοῖς ὅπλοις τῆς πίστεως θωρακισθείς, τὸν τύραννον Ἰουλιανόν, καὶ ἀποστάτην κατῄσχυνε, καὶ τοῦ σταδίου ἐν μέσῳ τρανῶς σε ἐκήρυξεν, Υἱόν, καὶ λόγον τοῦ ἀοράτου Πατρός, μεθ΄ οὗ σὺν τῷ Ἁγίῳ Πνεύματι, ἀδιαλείπτως σοὶ

παριστάμενος, δυσωπεῖ σε ἐκτενῶς, τοῦ ῥυσθῆναι ἡμᾶς πάσης περιστάσεως καὶ σωθῆναι τάς ψυχὰς ἡμῶν.

**Και νυν ... Θεοτοκίον.**

**Δέσποινα πρόσδεξαι,** τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, **ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.**

## Δοξολογία Μεγάλη.

- **Δόξα σοι τῷ δείξαντι τὸ φῶς**. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.
- **Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.**
- Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα,
- **Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.**
- Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.
- **Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.**
- Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
- **Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.**
- Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.
- **Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.**
- **Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.**
- Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
- **Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.**

- Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.
- **Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.**
- Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
- Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.
- **Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.**
- Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.
- Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.
- **Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.**
- Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
- Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.
- **Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.**

## Ἀπολυτίκια Ἦχος δ' Ταχὺ προκατάλαβε.

**Ὁ Μάρτυς σου, Κύριε,** ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση· Αὐτοῦ ταῖς ἱκεσίαις, **Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.**

## Ἕτερον Ἁγίου Ἀρτεμίου Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

**Ποικίλαις βασάνοις ἐναθλήσας μακάριε**, ὡς στερρὸς ἀδάμας τὸν παραβάτην κατῄσχυνας· καὶ γὰρ ἐν πέτρᾳ μεγίστῃ πιεσθεὶς διὰ τὴν πέτραν, Χριστόν, καὶ αἰκισθεὶς στέφος ἐδέξω τοῦ μαρτυρίου μεγαλομάρτυς Ἀρτέμιε· δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ σὲ στεφανώσαντι, **δὸξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**

## Ὁσίου Γερασίμου ὁ αὐτός.

**Τὸν Ὀρθόδοξον προστάτην,** καὶ ἐν σαρκὶ Ἄγγελον, καὶ θαυματουργὸν θεοφόρον νεοφανέντα ἡμῖν ἐπαινέσωμεν πιστοὶ θεῖον Γεράσιμον· ὅτι ἀξίως παρὰ Θεοῦ ἀπείληφεν ἰαμάτων τὴν

ἀέναον χάριν˙ ῥώννυσι τοὺς νοσοῦντας, δαιμονῶντας ἰᾶται· διὸ **καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.**

**Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου Γερασίμου εἰς Ἦχον α' .**

**Τῆς σαρκὸς χαλινώσας τὰ σκιρτήματα ἅπαντα**, καὶ τὰ πάθη νεκρώσας, ἐγκρατείας τοῖς βέλεσιν, ἀνήχθης πρὸς ἀπάθειαν σοφέ, ὡς ἄσαρκος βιώσας ἐκ πηγῆς· διὰ τοῦτο καὶ θαυμάτων πηγὰς προχέεις ἡμῖν τοῖς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ˙ δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, **φρουρὸν Γεράσιμε.**

**Δόξα ... τῆς Ἁγίας Ματρώνης. Ἦχος ὁ αὐτός.**

**Μονάσασα θεαρέστως ἐναρέτως ἐβίωσας**, καὶ χάριν ἰαμάτων ἐκομίσω Ματρῶνα θεόληπτε˙ θαυμάσια δὲ τελέσασα φοβερά, Μονὴν συνεκρότησας ἱερὰν˙ προσενήνοχας πληθὺν τῶν πιστευσάντων σοι παμμακάριστε˙ δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, **δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**

**Καί νῦν ... Θεοτοκίον.**

**Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε,** σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί˙ δόξα τῷ προελθόντι ἐκ σοῦ˙ **δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.**

## ΤΗ Κ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ 2021.

**ΤΕΤΑΡΤΗ. Εβδομάδα ΙΗ’ ( Ε’ ΛΟΥΚΑ ). Ἦχος πλ. δ’.**

**Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρας Ἀρτεμίου, τοῦ Ὁσίου καὶ θεοφόρου Πατρός, ἡμῶν Γερασίμου, καὶ τῆς Ὁσίας ἡμῶν Ματρώνης, τῆς Χιοπολίτιδος.**

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

*Ευλογημένη η Βασιλεία* **του Πατρός και του Υιού και του Αγίου Πνεύματος, νυν και αεί και εις τους αιώνας των αιώνων.**

**Αμήν.**

**Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

Ὑπέρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπέρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τοῦ Πατρὸς ἡμῶν, Ἀρχιεπισκόπου (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τῆς (πόλεως) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος, Αὐτὸς Δέσποτα, κατὰ τὴν εὐσπλαχνίαν σου, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον καὶ ποίησον μεθ' ἡμῶν, καί τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καί τοὺς οἰκτιρμούς σου.

**Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

## Ἀντίφωνον Α΄.

Στίχ. **Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.**

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. **Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ**.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. **Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει**.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. **Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ**.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

**Δόξα Πατρί ... Καὶ νῦν ...**

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, **Σῶτερ σῶσον ἡμᾶς.**

**Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Ὅτι σὸν τὸ κράτος καί σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

## Ἀντίφωνον Β'.

Στίχ. **Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω**.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, **ὁ ἐν Ἁγίοις θαυμαστός**, ψάλλοντάς σοι Ἀλληλούϊα.

**Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.**

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, **ὁ ἐν Ἁγίοις θαυμαστός**, ψάλλοντάς σοι Ἀλληλούϊα.

**Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·**

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, **ὁ ἐν Ἁγίοις θαυμαστός**, ψάλλοντάς σοι Ἀλληλούϊα.

**Στίχ. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.**

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, **ὁ ἐν Ἁγίοις θαυμαστός**, ψάλλοντάς σοι Ἀλληλούϊα.

**Δόξα. Πατρί ... Καὶ νῦν ...**

**Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ**, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας. Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ **τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.**

**Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

## Ἀντίφωνον Γ΄.

**Στίχ. α'. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.**

**Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.**

**Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ**, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν˙ ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση˙ Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, **σῶσον τὰς ψυχὰς ἡμῶν.**

**Στίχ. β'. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν, ἐξανθήσει.**

**Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.**

**Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ,** τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν˙ ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση˙ Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, **σῶσον τὰς ψυχὰς ἡμῶν.**

**Εἴσοδος.**

**Σοφία Ορθή.**

**Εἰσοδικὸν Ἦχος β'.**

**Δεῦτε προσκυνήσωμεν καὶ π**ροσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,..**ψάλλοντάς σοι΄ Ἀλληλούϊα.**

**Ἀπολυτίκιον Ἦχος δ' Ταχὺ προκατάλαβε.**

**Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ**, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν˙ ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση˙ Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, **σῶσον τὰς ψυχὰς ἡμῶν.**

**Ἕτερον Ἁγίου Ἀρτεμίου Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.**

**Ποικίλαις βασάνοις ἐναθλήσας μακάριε,** ὡς στερρὸς ἀδάμας τὸν παραβάτην κατῄσχυνας· καὶ γὰρ ἐν πέτρᾳ μεγίστῃ πιεσθεὶς διὰ τὴν πέτραν, Χριστόν, καὶ αἰκισθεὶς στέφος ἐδέξω τοῦ μαρτυρίου μεγαλομάρτυς Ἀρτέμιε· δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ σὲ στεφανώσαντι, **δὸξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**

**Ὁσίου Γερασίμου ὁ αὐτός.**

**Τὸν Ὀρθόδοξον προστάτην**, καὶ ἐν σαρκὶ Ἄγγελον, καὶ θαυματουργὸν θεοφόρον νεοφανέντα ἡμῖν ἐπαινέσωμεν πιστοὶ θεῖον Γεράσιμον· ὅτι ἀξίως παρὰ Θεοῦ ἀπείληφεν ἰαμάτων τὴν ἀέναον χάριν· ῥώννυσι τοὺς νοσοῦντας, δαιμονῶντας ἰᾶται· διὸ **καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.**

**Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου Γερασίμου εἰς Ἦχον α' .**

**Τῆς σαρκὸς χαλινώσας τὰ σκιρτήματα ἅπαντα**, καὶ τὰ πάθη νεκρώσας, ἐγκρατείας τοῖς βέλεσιν, ἀνήχθης πρὸς ἀπάθειαν σοφέ, ὡς ἄσαρκος βιώσας ἐκ πηγῆς· διὰ τοῦτο καὶ θαυμάτων πηγὰς προχέεις ἡμῖν τοῖς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, **φρουρὸν Γεράσιμε.**

**Τῆς Ἁγίας Ματρώνης. Ἦχος ὁ αὐτός.**

**Μονάσασα θεαρέστως ἐναρέτως ἐβίωσας**, καὶ χάριν ἰάμάτων ἐκομίσω Ματρῶνα θεόληπτε· θαυμάσια δὲ τελέσασα φοβερά, Μονὴν συνεκρότησας ἱερὰν· προσενήνοχας πληθὺν τῶν πιστευσάντων σοι παμμακάριστε· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, **δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.**

## Του Ιερού Ναού.

**Κοντάκιον Ἦχος β΄.**

**Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε**, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς

κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί**, Θεοτόκε, τῶν τιμώντων σε.**

**Διάκονος.**

**Τοῦ Κυρίου δεηθῶμεν.**

**Κύριε, ἐλέησον.**

**Ὁ Θεὸς ὁ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος**, ὁ τρισαγίῳ φωνῇ ὑπό τῶν Σεραφεὶμ ἀνυμνούμενος καὶ ὑπό τῶν Χερουβεὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς, τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν. Αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν Τρισάγιον ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα, ἑκούσιόν τε καὶ ἀκούσιον, ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων, **τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.**

**Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Τρισάγιον Ἀποστόλου.**

**Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.**
**(γ΄).**
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.
**Καὶ νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν.**
Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

**Δύναμις.**
**Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.**

**Προκείμενον τῆς ἡμέρας, Ἦχος βαρύς.**
**Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.**
**Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.**

**Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου 2:1-10.**
**Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ** ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ὃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, **ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.**

**Ἀλληλούϊα τῆς ἡμέρας, Ἦχος β΄.**
**Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.**
**Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.**

**Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.**
**Εἰρήνη πᾶσι.**
**Καὶ τῷ Πνεύματί σου.**
**Ἐκ τοῦ κατὰ Ματθαίον ἁγίου Εὐαγγελίου ...**
**Πρόσχωμεν.**

**Δόξα σοι, Κύριε, δόξα σοι.**

**Ἐκ τοῦ κατὰ Ματθαῖον κε΄ 1 – 13.**

**Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην˙ Ὡμοιώθη ἡ βασιλεία τῶν**
οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας
ἑαυτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. 2πέντε δὲ ἦσαν ἐξ
αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραὶ. 3αἵτινες μωραὶ λαβοῦσαι τὰς
λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον˙ 4αἱ δὲ
φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν
λαμπάδων αὐτῶν. 5χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι
καὶ ἐκάθευδον. 6μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν˙ ἰδοὺ ὁ νυμφίος
ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. 7τότε ἠγέρθησαν πᾶσαι
αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. 8αἱ δὲ
μωραὶ ταῖς φρονίμοις εἶπον˙ δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ
λαμπάδες ἡμῶν σβέννυνται. 9ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι
λέγουσαι˙ μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν˙ πορεύεσθε δὲ
μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε
ἑαυταῖς. 10ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος, καὶ
αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ
θύρα. 11ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι˙
κύριε κύριε, ἄνοιξον ἡμῖν. 12ὁ δὲ ἀποκριθεὶς εἶπεν˙ ἀμὴν λέγω
ὑμῖν, οὐκ οἶδα ὑμᾶς. 13γρηγορεῖτε οὖν, **ὅτι οὐκ οἴδατε τὴν ἡμέραν**
**οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.**

**Δόξα σοι, Κύριε, δόξα σοι.**

**Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς** καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

**Κύριε, ἐλέησον.**

Κύριε παντοκράτορ ὁ Θεός τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

**Κύριε, ἐλέησον.**

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπέρ τοῦ Πατρὸς ἡμῶν, Ἀρχιεπισκόπου (τοῦ δεῖνος).

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.**

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρά σοῦ μέγα καὶ πλούσιον ἔλεος.

**Κύριε, ἐλέησον.**

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
**Κύριε, ἐλέησον.**
**Σοφία.**
Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεός τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καί τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν, ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντός τοῦ λαοῦ σου, καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης, ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.
**Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.
**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

**Σοφία.**

**Πάλιν καὶ πολλάκις σοι προσπίπτομεν** καί σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς, δὸς αὐτοῖς πάντοτε, μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καί τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

**Ὅπως ὑπό τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν.**

**Ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι.**

**Η Είσοδος των Τιμίων Δώρων.**

**Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.**

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου καί τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

**Παράσχου Κύριε**

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

**Παράσχου Κύριε**

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

**Παράσχου Κύριε**

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

**Παράσχου Κύριε**

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

**Παράσχου Κύριε**

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

**Παράσχου Κύριε**

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν

Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε.**

**Κύριε ὁ Θεὸς ἡμῶν**, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτὴν, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν, σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου. Εὐδόκησον δή, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου Διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου Μυστηρίων, πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον, ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος. Ἐπίβλεψον ἐφ' ἡμᾶς, ὁ Θεός, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην , καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωϋσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς. Ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου Ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ Δῶρα ταῦτα, ἐν τῇ χρηστότητί σου, Κύριε, ἵνα, καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ, εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας.

**Διά τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**+ Εἰρήνη πᾶσι.**

**Καὶ τῷ πνεύματί σου.**

**Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.**

**Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.**

**ή**

**Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου.**

**Τὰς θύρας, τὰς θύρας. Ἐν σοφίᾳ πρόσχωμεν.**

- **Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.**
- **Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱόν τοῦ Θεοῦ τὸν Μονογενῆ, τον ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.**
- **Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.**
- **Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.**
- **Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.**
- **Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.**
- **Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ**

**συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διά τῶν Προφητῶν.**

- **Εἰς Μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.**
- **Ὁμολογῶ ἕν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.**
- **Προσδοκῶ ἀνάστασιν νεκρῶν.**
- **Καὶ ζωήν τοῦ μέλλοντος αἰῶνος.**
- **Ἀμήν.**

**Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, πρόσχωμεν, τὴν ἁγίαν ἀναφοράν, ἐν εἰρήνῃ προσφέρειν.**

**Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.**
**Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καί Πατρὸς καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.**
**Καὶ μετά τοῦ πνεύματός σου.**
**Ἄνω σχῶμεν τὰς καρδίας.**
**Ἔχομεν πρὸς τὸν Κύριον.**
**Εὐχαριστήσωμεν τῷ Κυρίῳ.**
**Ἄξιον καὶ δίκαιόν ἐστι.**

**Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα,**

**Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ, Πλήρης, ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὠσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὠσσανὰ ὁ ἐν τοῖς ὑψίστοις.**

**Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών˙ Λάβετε, φάγετε. τοῦτό μού ἐστι τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.**

**Ἀμήν.**

**Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών· Πίετε ἐξ αὐτοῦ πάντες. Τοῦτό ἐστι τὸ Αἷμα μου, το τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ἡμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.**

**Ἀμήν.**

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν Ἄρτον τοῦτον, καὶ τὸ Ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, τὴν ἐμὴν Ἀνάστασιν ὁμολογεῖτε. Μεμνημένοι οὖν, Δέσποτα, καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ Παθημάτων, τοῦ ζωοποιοῦ Σταυροῦ, τῆς τριημέρου Ταφῆς, τῆς ἐκ νεκρῶν Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς Ἀνόδου, τῆς ἐκ δεξιῶν σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς Καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς δευτέρας αὐτοῦ Παρουσίας.

**Τὰ Σὰ ἐκ τῶν Σῶν, σοὶ προσφέρομεν κατὰ πάντα, καὶ διὰ πάντα.**

**Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.**

Εἰς τό Ἐξαιρέτως.

**Ἄξιόν ἐστιν ὡς ἀληθῶς,** μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, **τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

**Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν, ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.**

**Κύριε, ελέησον.**

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

**Καὶ πάντων καὶ πασῶν.**

Μέγα τὸ ὄνομα τῆς Ἁγίας Τριάδος, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ἀμήν.**

Μνήσθητι, Κύριε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τῆς ἐμῆς ἀναξιότητος, συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων Δώρων. Μνήσθητι, Κύριε, τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς ἱερατικοῦ Τάγματος, καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τὸ ἅγιόν σου θυσιαστήριον. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, Κύριε, ἐπιφάνηθι ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς, εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι, ὄμβρους εἰρηνικοὺς τῇ γῇ πρὸς καρποφορίαν δώρησαι. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, παῦσον τὰ σχίσματα τῶν Ἐκκλησιῶν, σβέσον τὰ φρυάγματα τῶν ἐθνῶν, τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος. Πάντας ἡμᾶς πρόσδεξαι εἰς τὴν βασιλείαν σου, υἱούς φωτὸς καὶ υἱοὺς ἡμέρας ἀναδείξας, τὴν σὴν εἰρήνην, καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

**Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων ὑμῶν.

**Καὶ μετά τοῦ πνεύματός σου.**

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ είς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον είς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν Χάριν καὶ τὴν δωρεάν τοῦ Ἁγίου Πνεύματος δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

**Κύριε, ἐλέησον.**

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

**Κύριε, ἐλέησον.**

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

**Παράσχου Κύριε**

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν

**Παράσχου Κύριε**

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

**Παράσχου Κύριε**

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

**Παράσχου Κύριε**

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

**Παράσχου Κύριε**

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

**Παράσχου Κύριε**

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**Σοι Κύριε**

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως ὑπὲρ τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας, καὶ ποιεῖς μεθ' ἡμῶν. Σύ, ὁ Θεὸς ἡμῶν, ὁ προσδεξόμενος τὰ Δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξον ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου, ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ Σώματι καὶ Αἵματι τοῦ Χριστοῦ σου. Καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν Χριστόν, κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, καὶ γενώμεθα ναὸς τοῦ Ἁγίου σου Πνεύματος. Ναί, ὁ Θεὸς ἡμῶν, καὶ μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ ἐπουρανίων Μυστηρίων, μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν, ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου, ὅπως ἂν καὶ ἡμεῖς μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε.

**Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·**

**Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ Βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπί τῆς γῆς.**
**Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ἀφειλέταις ἡμῶν.**
**Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.**

**Ὅτι σοῦ ἔστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ἀμήν.**

**+ Εἰρήνη πᾶσι.**
**Καὶ τῷ πνεύματί σου.**
**Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.**
**Σοί, Κύριε.**
Δέσποτα Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον, παντὶ δὲ ἔργῳ ἀγαθῷ σύναψον, καὶ καταξίωσον ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου τούτων καὶ ζωοποιῶν Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς Πνεύματος Ἁγίου κοινωνίαν.

**Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**
**Ἀμήν.**

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών, καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ Λαῷ.

**Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησον με. (3).**
**Πρόσχωμεν**
**Τὰ Ἅγια τοῖς Ἁγίοις.**

**Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.**

**Κοινωνικὸν.**
**Εἰς μνημόσυνον** αἰώνιον ἔσται δίκαιος. **Ἀλληλούϊα.**

**Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.**

**Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ __ σῶμα καὶ αἷμα Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιων.**

**Ἀμήν.**

**Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.**

**ἦχος β΄.**
**Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν**, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, **αὕτη γὰρ ἡμᾶς ἔσωσεν.**

**Αμήν, αμήν, αμήν, εις άφεσιν αμαρτιών και εις ζωήν αιώνιον.**

**Πληρωθήτω τό στόμα ἡμῶν αἰνέσεώς σου,** Κύριε, ὅπως ὑμνήσωμεν τήν δόξαν Σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων μυστηρίων Σου. στήριξον ἡμᾶς ἐν τῶ σῶ ἁγιασμῶ ὅλην τήν ἡμέραν μελετᾶν τήν δικαιοσύνην Σου. **Ἀλληλοΰϊα, Ἀλληλοΰϊα, Ἀλληλοΰϊα.**

**Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος (ἐκ γ').**

**Ἀπόλυσις.**

**ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν**, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων, ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἁγίου (τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου(τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, **ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.**

**Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.**

**Ἀμήν.**